(Lycophron.)
Scholia

SCHOLIA VETUSTA

IN

LYCOPHRONIS ALEXANDRAM.

E Codice Bibliothecae Vaticanae antiquissimo

edidit

Ludovicus Bachmannus.

Rostochii,

Typis J. M. Oeberg.

1848.

Lectori S.

Mirabuntur fortasse, qui Scholia graeca in Lycophronis Alexandram paullo accuratius perlustrarunt, e Codice Vaticano nunc a me seorsim proferri, quae maximam partem cum aliis conjuncta in editis inveniantur. Re autem propius considerata consilium meum, spero, non improbabunt. Deprompta enim sunt haec Scholia, quorum particulam sequentes plagellae exhibent, e Codice Lycophronis antiquissimo, qui saeculo IX vel X exaratus, reliquorum Codicum, quotquot adhuc novimus, aetatem longe antecedit, et in quo, nisi egregie fallor, veteris cujusdam grammatici ὑπόμνημα in Lycophronem, si non integrum, magna saltem ex parte nobis servatum est. Tractantur in his vetustis Scholiis omnia, quae obscura et difficilia in hoc poemate videri possunt, aptis aliorum poetarum locis illustrantur, variae interdum lectiones et expositiones commemorantur, sed breviter haec omnia et dilucide et sine inutili doctrinae apparatu expediuntur. Totum hoc vetus ὑπόμνημα, ut nunc demum apparet, in suum usum convertit auctor uberrimi commentarii, quem libri mss. saeculi XIII et serioris aetatis omnes exhi-

bent, sed ea ratione vel arte potius usus est, ut vetusta Scholia nunc aut integra, aut verbis aliquantulum immutatis servaret, nunc dissecta et discerpta suis insereret, grammaticas et metricas observationes ubicunque fieri potuit, adderet repeteretque, doctrinam suam multis poetarum locis longisque digressionibus mythologicis et historicis additis ostentaret, neque ullam priores interpretes et ipsum etiam poetam reprehendendi et corrigendi occasionem praetermitteret. His virtutibus scilicet vitiisve agnoscimus, quem e Scholiis Hesiodeis et Chiliadibus satis notum habemus, et si liber plane anepigraphus ad nos pervenisset, certa conjectura auctorem ejus esse assequeremur, Joannem Tzetzam, grammaticum saeculi XII, Byzantinum, hominem doctum quidem, si multa legisse doctum facit, sed *δοξόσοφον* etiam et *ἀλαζόνα*, mirificum suae eruditionis praeconem, aliorum autem obtrectatorem iniquissimum. Qui quum in praefatione ad Scholia Hesiodea Isaacii fratris operam in explicando Lycophrone collocatam magnificis sane verbis efferat,[1] in Chiliadibus autem[2]), et apertius etiam in epistola ad

---

1. Joannis Tzetzae Schol. ad Hesiod. pag. 11. edit. Gaisf. *περὶ μὲν τῆς τῶν ποιητῶν διαιρέσεως καὶ πρώην μοι ἐπεξείργασται μικρὸν συγγραμμάτιον αὐτοσχεδίοις συντιθέμενον ἰάμβοις, καὶ τῷ ἐμῷ δὲ ἀδελφῷ ἐκπεπόνηται λίαν κάλλιστα καὶ φιλοτιμότατα περὶ τούτου ἐν τῇ τοῦ Λυκόφρονος ἐξηγήσει.*
2. Chiliad. lib. IX, hist. 298, v. 957 sqq.

Ἔστι καί τι ζωΰλλιον, φάλαινα καλουμένη,
ὃ ταῖς λυχνίαις ἵπταται καὶ τῷ πυρὶ δὲ θνήσκει,
παρὰ τὸ ἅλλεσθαι εἰς φῶς καὶ αὕτη καλουμένη.
ἐν δὲ τοῖς εἰς Λυκόφρονα ἐμοὶ ἐξηγηθεῖσι
καὶ περὶ τούτου ἔγραψα τότε τοῦ ζωϋλλίου.
ἔστι καὶ ζῶον ἕτερον φάλαινα κεκλημένον,

Protonotarium Basilium Achridenum, [2]) **quam Ludolphus Kusterus edidit, se ipsum** ἐξήγησιν **in Lycophronis Alexandram scripsisse et tale opus in fratris honorem composuisse atque edidisse professus sit: dubitatum jam a Joanne Pottero est aliisque doctis hominibus, hoc quod nunc habemus opus utrius sit, Joannisne Tzetzae an Isaacii fratris ejus, cujus nomen libri illius aetatis omnes in fronte ostendunt, an**

φάλαινα ψύχη ψώρα τε καὶ πυραυστούμορος δὲ,
ὅπερ φασὶ κοινότερόν τινες κανδηλοσβέστραν.

Respicit Joannes Tzetzes ad Schol. in Lycophronem v. 84, ubi haec adnotaverat: *φάλαινα ζωΰφιόν ἐστι ταῖς λυχνίαις ἐπιπετόμενον, ὃ καὶ πυραυστούμορος καὶ ψύχη καὶ ψώρα καλεῖται· λέγεται δὲ φάλαινα παρὰ τὸ εἰς φῶς ἅλλεσθαι.* **cf. Schol. in Oppiani Halieut. I, 404.**

3. Joannis Tzetzae Epistola XXI in Cod. ms. Bibl. Reg. Paris. 2565. ad Protonotarium Basilium Achridenum data, haec est:

Τῷ Πατριαρχικῷ Πρωτονοταρίῳ κυρίῳ Βασιλείῳ τῷ Ἀχριδηνῷ, ἐν τῇ εἰς τὸν Λυκόφρονα Ἰωάννου τοῦ Τζέτζου ἐπιγραφῇ εὑρόντι Ἰσαακίου τοῦ Τζέτζου.

Φειδίας ἐκεῖνος ὁ πλάστης Ἀγορακρίτῳ ποτὲ χαριζόμενος φιλίας θεσμῷ, ἀνθρώπῳ γραφικῷ μὲν τὴν τέχνην, ἀλλ' οὐκ εὐχείρως γράφειν εἰδότι, αὐτὸς εὖ μάλα πρὸς πλαστικὴν εὐτεχνίαν ἀγαλματώσας τὸ ἐν Ῥαμνοῦντι Διὸς καὶ Νεμέσεως ἄγαλμα, τούτῳ ἀνέθηκεν, ἐπιγεγραφὼς τῷ ἀγάλματι, Ἀγορακρίτου Παρίου· καὶ τὸ τῆς τέχνης ἐνδεὲς δι' ἐπιγράμματος ἐκείνῳ χαρίζεται. Εἶτα Φειδίας μὲν ξενίας θεσμῷ ἀνδρὶ δυσπαλάμῳ περὶ τὴν τέχνην χαρίσασθαι περὶ τὰ μέγιστα οὐ κατώκνησεν, ἡμεῖς δὲ περὶ τὸν ἀδελφὸν Φειδίου φανούμεθα δεύτεροι, καὶ οὐκ ἐπ' αὐτῷ ταὐτὸ τούτῳ Φειδίᾳ ποιήσαιμεν, εὐπαλάμων τε ὕμνων τελοῦντι κατὰ Πίνδαρον τέκτονι, καὶ ἡμῖν στεργομένῳ ἀσύγκριτα, ἤπερ Φειδίᾳ ὁ Ἀγοράκριτος, καθ' ὅσον ἄρα καὶ ἀδελφότης πρὸς θέλγητρα ξενίας ἐφελκτικώτερον; Οὕτω κἀγὼ καὶ Φειδίας ἐκεῖνος τὰς ἐπιγραφὰς ἐπεγράψαμεν· ἀλλ' οὔτε Φειδίας ποτὲ, οὔτε ὁ Τζέτζης νενόσηκε παραπληξίαν ἢ λήθαργον, ὡς εἰς τοσοῦτον ἐλάσαι τῶν μανιῶν, ὡς καὶ τοῦ οἰκείου λελῆσθαι ὀνόματος, καθά τινες ὑπετόπασαν.

utriusque fortasse fratris conjuncta opera elaboratum. At intellectum est ab iis, qui accurata et critica lectione in hoc opere versati sunt, multa inesse, quae, quum sibi prorsus contraria interque se pugnantia sint, neque unius ejusdem interpretis, nisi plane desipientis, esse possint, neque scripta a duobus, nisi qui sibi invicem adversarii fuerint. Quam quidem difficultatem ita expedire conatus est Godofredus Muellerus,[4] qui Tzetzianum opus post Leopoldi Sebastiani[5] curas edidit, ut in praefatione multis verbis contendat duplicem olim hujus commentarii factam esse recensionem, quarum alteram Isaacius Tzetzes primus in lucem ediderit, alteram autem post ejus mortem Joannes frater recognoverit, eamque emendatam auctamque sibi vindicaverit. Inhaerebam ego quoque huic opinioni, priusquam ipse Vaticanum librum inspexissem; mirabundus interdum, quid Joannem Tzetzam impulerit, ut fraternum opus tam acerbe perstringeret, eumque, cujus amantissimum fuisse aliunde novimus,[6] tecte quidem, sed quavis occasione arrepta, irrideret. Ut

---

4. Scholiorum editio, quam Godofredus Muellerus curavit, prodiit Lipsiae, anno MDCCCXI, tribus Voluminibus, quorum in fronte haec leguntur:
Ἰσαακίου καὶ Ἰωάννου τοῦ Τζέτζου Σχόλια εἰς Λυκόφρονα.

5. Prodiit haec editio Romae, anno hujus saeculi tertio, sic inscripta:
Λυκόφρονος τοῦ Χαλκιδέως Κασσάνδρα, τὸ σκοτεινὸν ποίημα· καὶ εἰς αὐτὸ τοῦτο Ἰσαακίου μᾶλλον δὲ Ἰωάννου τοῦ Τζέτζου ἐξήγημα. Ἐν Ῥώμῃ, ἔτει τῆς θεογονίας, ͵αωγ΄.

6. In Prooemio operis inediti *περὶ μέτρων ἁπάντων*, quod Oxonii in Bibliotheca Barocciana asservatur, Joannes Tzetzes immaturam fratris mortem multis verbis deplorat, e quibus nunc haec decerpam:

Αὐτὰρ ἐγὼ, κασίγνητε, γλυκὺ φάος, Ἰσαάκιε,
κρεῖσσον ἐμοῦ βιότοιο, καὶ εἴ που βέλτερον ἄλλο,
σεῖο ἀποφθιμένοιο ὑπ' ἀργαλέων ὀδυνάων

autem ipse Romam veni librumque vidi, quem e thesauris Vaticanis liberalissime mihi utendum concessit Angelus Majus: statim intellexi, tum demum certius judicari posse de auctore auctoribusve illius commentarii, si hic liber, vetustate sua praestantissimus, et Tzetzianis Codicibus plus quam duobus saeculis antiquior, denuo summa cura excussus, et criticis copia facta esset vetustorum Scholiorum, quae genuina et integra in hoc uno Codice continentur. Etenim his Scholiis usum esse auctorem illius commentarii jam antea suspicatus eram ex iis, quae apud Leopoldum Sebastianum ex hoc Codice excerpta leguntur: tum autem, quum ipsius libri mihi facta est potestas, animadverti, ea tota sic in illud opus transscripta atque transfusa esse, ut si recideris, quae supra Joanni Tzetzae vindicavimus, ex hac tanta commentarii mole haec sola relicta supersint, magnam partem quidem disjecta, mutilata aliisque immixta, sed facili negotio a reliquis dignoscenda, quippe in quibus corrigendis et refellendis arrogantiae et maledicentiae suae stimulos compilator exerceat. Quod quidem ea, quae infra e Codice Vaticano protulimus, satis comprobabunt. Iniquo autem casu accidit,

---

τηλόθεν ἡμετέρης καὶ ἡμετέρων ἐνατήρων,
ἡμετέρην γενέθλην ἐπεὶ ἔμβαρυς ἔχραε δαίμων,
οὐ χρυσέην ἐς λάρνακα θεὶς πλοκάμοισι πυκάσσω, κ. τ. λ.

αὐτὰρ ἐγὼ, τριφίλητον ἀδελφεὸν, ὄμμα καὶ ἦτορ,
ζωὸς ἀποφθιμένοιό σου ὕστερος ὢν ἐπὶ γαῖαν,
μνῆμα καλὸν τελέω σοι, ὅπερ σέθεν ἄξιόν ἐστι,
καὶ ῥόδος οὐ σέο μνῆμα, σύ δ' αὖ ῥόδου ἔσσεαι μνῆμα,
ἡ γὰρ γηράσασα ποτὲ χρόνῳ ἐξαπολεῖται,
αὐτὰρ, ὦ Ἰσαάκιε, τεὸν κλέος ἄβροτον ἔσται.

ut primo Codicis folio avulso, vetusti hujus hypomnematis initium et inscriptio perierint.

His autem nunc concidunt ea, quae Godofredus Muellerus de duplici commentarii recensione disputavit, et tota illa questio de origine Tzetziani operis facilius et certius, quam hactenus fieri potuit, solvenda et expedienda est. Etenim si Scholia Vaticana, ut nunc demum apparet, prorsus eadem sunt cum illa commentarii parte, quam Godofredus Muellerus a reliquis separandam et Isaacio Tzetzae tribuendam censuit, utpote qui priorem illam, quam dicit, commentarii editionem paraverit: si porro, quae reliqua sunt, quae in augendis, dilatandis, refellendis illis prioribus versantur, tam manifesto Joannis Tzetzae ingenium manumque produnt, ut idem Muellerus asserere, et rectissime quidem, non dubitaverit, eum, qui hoc negare audeat, plane caecutire sibi videri: quis tandem locus in continuando hoc opere Isaacio Tzetzae relinquitur? Si denique his argumentis ex re ipsa petitis, illa ipsius Joannis Tzetzae testimonia, quae supra attulimus, accedunt: quis est, qui Isaacii causam, ut perditam, agere ac sustinere amplius velit? — Epigrammate autem illo, quo in libris fere omnibus inscriptus est commentarius, non vereor, ne quis serio contra meam sententiam utatur. Tantum enim abest, ut vulgarem opinionem confirmet, ut mirum sit, id a quoquam pro argumento in hanc rem adhiberi potuisse. Qui enim aliter efficere Joannes Tzetza potuit, ut doctrinae et reconditae eruditionis famam fratri pararet, nisi docto quodam opere nomine ejus inscripto? Et sane mirum esse potest, homini, quem videmus in versibus procudendis, pessimis licet, tam inepte luxuriantem, ut in enarrationibus suis saepenumero a soluta

oratione ad versus transeat, [7]) exquisitius et doctius visum esse pro simplici nominis inscriptione, poetica uti? Id autem fecit duobus illis tetrastichis, quorum alterum tanquam πρόσωπον τηλαυγὲς in fronte libri

7. Unum est et certissimum quidem indicium, quo Joannem Tzetzam poteris agnoscere, quippe quod ejusmodi sit, ut vix apud quemquam alium graecorum interpretum tale quid inveniatur. Hi enim sunt illi versiculi iambici, quos saepenumero, prout libido incessit, quasi condimenta orationis interseruit, eo fortasse consilio, ut perinde sibi esse monstraret, vincta an soluta oratione eruditionem suam expromeret. Quod quidem notissimum est iis, qui Scholia Hesiodea tractarunt (Vid. Schol. ad Hesiod. Ἔργ. v. 1, 41, 56, 59, 95, 109, 142, 302, 564, 596, 731, 767, 780); inveniuntur etiam in Scholiis Oppianeis, quae ejusdem Joannis Tzetzae esse alio loco evincam; similiter etiam, sed rarius, in Iliados Ἐξηγήσει, cujus particulam tantum adhuc editam habemus; Vid. Schol. in Hom. Iliad. pag. 770, 16—18, 803, 7—9, 834, 11—17 editionis meae. In Scholiis quoque Lycophroneis multa talia lusit Joannes Tzetzes, quae maximam partem adhuc latent nondum ab editoribus animadversa. Quorum e numero nunc haec placet lectoribus propinare:

ad v. 88. (pag. 376. Muell.) ἀλληγορίας, ὡς ἔφην, ἐᾶτ', ἐὰν
ποθῆτε καὶ ταύτας μαθεῖν, ἀκούετε.

ad v. 481. (pag. 635. Muell.) Πελασγὸς ἦν παῖς τοῦ Διὸς καὶ Νιόβης,
ᾧ παῖς Λυκάων ἐκ Μελιβοίας κόρης,
εἴτ' οὖν Κυλήνης, ὥς φασιν ἄλλοι πάλιν.
οὗτος καταστὰς βασιλεὺς τῶν Ἀρκάδων,
πολλοῖς γάμοις δέδεικτο πεντηκοστόπαις.
ἀλλ' ἀσεβὲς βλάστημα τῶν τέκνων ἔφυ.
ὧν Μαίναλος, Θεσπρωτὸς ἠδὲ Νύκτιμος,
Καύκων Λύκος τε, σὺν Φθίῳ Τηλεβόας,
Αἵμων, Ματίνους, Στύμφαλός τε καὶ Κλύτωρ.

Reliqua verbo indicasse sufficiat. Vid. Schol. ad v. 17 (tres versus); ad v. 156 (duo vers.); ad v. 497 (quatuordecim versus); ad v. 680 (quinque vers.); ad v. 838 (tres vers.); ad v. 1043 (tres vers.); ad v. 1170 (tres vers.); ad v. 1181 (tres vers.); ad v. 1350 (quatuor vers.)

collocavit, alterum in fine commentarii posuit[8]), et quae ipsa verborum insolentia licentiaque metrica auctorem suum tam luculenter produnt, ut iis, qui Antehomerica Joannis Tzetzae et similia ejus poemata legere sustinuerunt, dubitatio omnino nulla relinquatur.

Per additamenta autem illa, quae supra diximus, multa et admodum verbosa, vetus hypomnema in tam amplam molem excrevit, ut librarii raro integrum Scholiorum opus describerent, saepius autem ea vel in brevius redacta, vel aliqua parte truncata et decurtata poetae verbis in margine apponerent. Inde triplex ortum est Codicum genus: primum antiquissimorum librorum, qui vetera hypomnemata continet, qualia ante

---

8. Epigramma in Isacii honorem ab Joanne fratre confectum, quod Godofr. Muellerus nescio qua de causa contra Codd. auctoritatem e fronte libri ad finem relegavit, hoc est:

Βίβλος μὲν τελέθουσα Λυκόφρονος ᾀσματοκάμπτου
ἣν ἀλαὸς προπάροιθεν ἀδερκέα δέργματ᾽ ἔχουσα·
νῦν δέ με δορκαλέην Ἑρμείῃ θήκατο τέχνῃ
Τζέτζης Ἰσαάκιος, εὔστροφα πείσματα λύσας.

Hos versus omnes fere Codices, quos vidi, nisi qui ab initio mutilati sunt, in fronte exhibent, et quidem ex meis sequentes:

Codd. Parisini BCDEFGIL. (Cod. H. ab initio truncatus est; Cod. K. Scholia non habet.) Codd. Neap. I. II. III. Vindob. II. IV. Vitt. I. II. III. Palat. 40. Ciz. et Rhedig.

Altero autem Epigrammate Joannes Tzetzes fratrem, quasi exantlato labore, sic loquentem facit:

Τήνδε Λυκοφρονέην τὴν βαρβαρόφωνον ἰυγὴν,
Κλειοῦς τ᾽ ἀλλοπροσάλλου Βάκχην Καλλιόπειαν,
Τζέτζης Ἰσαάκιος ἐπεὶ φύγον ἐξερεείνας,
παγκρατέϊ μεδέοντι πανέξοχον ὕμνον ὀφείλω.

Legitur hoc Epigramma in Codd. Paris. CDEL. Neap. III. Vind. II. IV. Vit. I. Palat. 40. Ciz. et Cod. Vatic. 117.

Joannis Tzetzae aetatem ferebantur; quorum duo tantum exempla adhuc novimus, Codicem Vaticanum 1307, et Cod. Paris. 435, ad saec. IX et X referendos; alterum eorum, in quibus tota et integra Tzetzianae eruditionis et compilationis farrago continetur, amplissima volumina, maximae plerumque formae et densissimae scripturae, quibus accensendi sunt Codd. Parisini BCEF. Neap. III. Vind. IV. Vit. II. et liber Seldenianus Potteri; tertium denique genus, ad quod plurimi, qui supersunt, libri mss. pertinent, eos Codices omnes complectitur, qui partem tantum Tzetziani operis exhibent, nunc longis enarrationibus aut recisis, aut certa quadam ratione in brevius redactis, nunc poetarum locis vel omnibus, vel plurimis saltem omissis, nunc Scholiis temere et sine ullo consilio truncatis, quum sine delectu, quicquid ora libri non caperet, omitteretur. Quos quominus sigillatim nunc recenseam, hujus scriptionis et tempus et angustiae me prohibent; sed horum omnium instar ex meis libris esto Cod. Palat. 40, in quo describendo tam negligenter versatus est librarius, ut plus quam tertia pars commentarii desideretur.

Haec Codicum diversitas ansam praebuit errori. Quum enim animadversum esset, Scholia, quae sub Isaacii Tzetzae nomine feruntur, ob certas quasdam rationes unius auctoris esse non posse: et quum a Joanne Pottero demonstratum esset, majorem saltem illius commentarii partem Joanni Tzetzae tribuendam esse: facilis admodum et probabilis conjectura videbatur, in plenioribus libris mss. totum utriusque Tzetzarum opus, in reliquis autem solius Isaacii commentarium contineri. Inde nata est Muelleri opinio de duplici Scholiorum recensione, quam speciosis licet fultam argumentis, tamen illi ipsi Codices, quos Muellerus

testes adhibuit, Cizensis et Vitebergensis I., libri certa quadam et prudenti ratione e plenioribus decurtati, tam manifesto falsam esse arguunt, ut ea de re, mea quidem sententia, nunc disputari amplius non possit.

Haec de Scholiis in Lycophronis Alexandram eorumque Codicibus nunc summatim dicta sunto; accuratius haec omnia, critico apparatu adhibito, in ipsa Scholiorum editione, quam spero me aliquando absoluturum esse, pertractabo. Interea hac critica promulside, mi Lector, contentus esto laetusque fruere; ad lautiores epulas, si paratae fuerint, Te posthac vocabo. Vale.

SCHOLIA VETUSTA
in Lycophronis Alexandram.

E Cod. Vaticano 1307.

---

128 — 129. *Κεῖνός σε Γουνεύς*: ἐκεῖνος ὁ Πρωτεὺς, ὥσπερ ὁ τῆς δίκης ἐργάτης Γουνεὺς, στερήσει σε τῶν γάμων. ὁ Γουνεὺς δὲ οὗτος Ἄραψ ἦν τὸ γένος καὶ δίκαιος πάνυ, ὅστις διὰ δικαιοσύνην στασιάζοντάς ποτε Φοίνικας καὶ Βαβυλωνίους ἐλθὼν κατήλλαξεν σταλεὶς ὑπὸ Σεμιράμιδος. τούτῳ οὖν τῷ Γουνεῖ ἀπεικάζει τὸν Πρωτέα, ὡς δικαίως τὴν Ἑλένην ἀφελόντα ἀπ' Ἀλεξάνδρου. *Ἰχναίας*: θυγατὴρ δὲ τοῦ Ἡλίου Θέμις, διότι καὶ αὐτὸς πάντα ἐφορᾷ καὶ πάντα ὑπακούει, ὅθεν Ἰχναία διὰ τὸ κατ' ἴχνος τῶν ἀνθρώπων πορεύεσθαι.

---

1. Totum hoc vetus Scholion immutatum fere transiit in Joannis Tzetzae compilationem, praeterquam quod in interpretando Ἰχναίας nomine simplicior explicandi ratio διὰ τὸ κατ' ἴχνος τῶν ἀνθρώπων πορεύεσθαι commutata est cum doctiore scilicet, διὰ τὸ κατ' ἴχνος καὶ κατὰ πόδας τῶν Γιγάντων ἕπεσθαι, et in fine additum: ἢ διὰ τὸ λαμπρύνειν τοὺς αὐτὴν κεκτημένους, διότι εἰς γῆν ἀνεδόθησαν. in quibus, sicuti in libris mss. et impressis leguntur, et festinationem librariorum et editorum incuriam deprehendimus. Sunt autem haec ultima, quae turbata in editis, nimis prompta manu Muellerus resecuit, meorum Codd. ope ita legenda: διὰ τὸ κατ' ἴχνος τῶν Γιγάντων ἕπεσθαι, ὅτε ἐκ τῆς γῆς ἀνεδόθησαν· ἢ διὰ τὸ λαμπρύνειν κ. τ. λ. Themis enim, ut Titanis, infesta erat Gigantibus. Haec in brevius contraxit Favorinus Lex. s. v. Ἰχναία, fol. 279. edit. Rom.
2. σε deest in Codice.
6. Odyss. λ', 108. in editis ἐπακούει.

132—136. τοὺς Λύκου τε καὶ Χιμαιρέως: εἰπὼν ἄνω ὅτι δικαίως ἀφείλετο τὴν Ἑλένην ἱκετεύσασαν ὁ Πρωτεὺς, νῦν λέγει τὴν ἀδικίαν τοῦ Ἀλεξάνδρου καί φησιν, ὅτι σὺ οὐκ αἰδούμενος τοὺς Λάκωνας τοὺς τιμήσαντας κατὰ χρησμὸν τοὺς τάφους τῶν συγγενῶν ἡμῶν, Λύκου τε καὶ Χιμαιρέως, οὐδὲ τοῦ Ἀνθέως τοὺς ἔρωτας, ὅντινα ἀνελὼν διεσώθης ὑπὸ Μενελάου, οὐδὲ τὸν ἅλα τὸν τοῖς ξένοις σύνδειπνον — εἶχον γὰρ πάλαι τοὺς ἅλας ἐν ταῖς τραπέζαις σύμβολον ξενοδοχίας — ἐκαρτέρησας ἐν τῇ δίκῃ τῶν θεῶν ἁμαρτεῖν, καὶ τὴν Ἑλένην αἱρετίσασθαι· λέγει δὲ δίκην τῶν μυθευομένων θεῶν, Ἥρας, Ἀθηνᾶς, Ἀφροδίτης, διὰ τὸ μῆλον. ἡ δὲ ἱστορία περὶ Λύκου καὶ Χιμαιρέως ἐστὶν οὕτως· λοιμοῦ κατασχόντος ποτὲ Λακεδαιμονίους καὶ χρειομένων αὐτῶν, ἀνήγγειλεν ὁ θεὸς τιμήσειν τοὺς τάφους Λύκου καὶ Χιμαιρέως· ἦσαν δὲ οὗτοι υἱοὶ Προμηθέως καὶ Κελαινοῦς τῆς Ἄτλαντος· οἱ δὲ Λακεδαιμόνιοι ἀπέστειλαν τὸν Μενέλαον ἐκτελέσαι τὰ τοῦ χρησμοῦ· ἐλθὼν δὲ οὗτος εἰς Τροίαν ἐξενώθη Ἀλεξάνδρῳ. Ἦν δέ τις Ἀντήνορος υἱὸς λεγόμενος Ἀνθεὺς, ὅστις ἦν εὐπρεπέστατος, ἤρων δὲ αὐτοῦ Δηίφοβος καὶ Ἀλέξανδρος· συνέβη δὲ ἀναιρεθῆναι τὸν παῖδα ὑπὸ Ἀλεξάνδρου ἀκουσίως· ὁ δὲ φοβούμενος τὴν ποίνην, ἀπῆρε σὺν Μενελάῳ, καὶ ἐλθὼν εἰς Σπάρτην προσεφιλιώθη τῇ Ἑλένῃ, ἥντινα καὶ ἁρπάσας ᾤχετο. Ὀνειδίζει δὲ τὸν Ἀλέξανδρον ὡς ἀντὶ τῆς εὐεργεσίας κακὰ καταπραξάμενον τῷ Μενελάῳ. ἀγνίτην δὲ πάγον, τὸν ἅλα· ὁ γὰρ Ποσειδῶν ἐστὶ τῆς θαλάσσης ἔφορος, ἧς πηγνυμένης οἱ ἅλες γίνονται. ἀγνίτην δὲ, διὰ τὸ ἀφανίζειν, ὅθεν ἡ παροιμία·

---

1. Hoc Scholion ob id memorabile est, quod auctor ejus interpretatur lectionem δίκῃ, quam antiquissimi libri tuentur, Joannes autem Tzetzes his verbis exagitat: οἱ δὲ λοιποὶ δίκη χωρὶς τοῦ ͞ν γράφουσι λέγοντες οὕτως· ὃς τόδε καὶ τόδε ποιήσας ἔτλης ἐκβῆναι ἀλοιτὸς καὶ ἁμαρτωλὸς ἤτοι παρακρίνων γενέσθαι (ejeci importunum illud τοῦ, quod Muellerus ante γενέσθαι e Codd. Vitt. 2 et 3 recepit, sensus autem respuit) ἐν τῇ δίκῃ τῶν θεῶν, Ἥρας δῆθεν, Ἀφροδίτης καὶ Ἀθηνᾶς· τοῦτο δὲ ἀνοίας ἀκάμεστον· μετὰ γὰρ τὸ φαγεῖν ἐν τοῖς οἴκοις τοῦ Μενελάου οὐκ ἔκρινεν Ἀλέξανδρος τὰς θεάς, ἀλλὰ πρότερον.

16. Cod. φοβούμενος τὴν πόλιν, vitiose.

θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.

ξένοις δὲ σύνδορπον, ἐπεὶ κατὰ τὸ ἔθος, ὅταν . . . . ξένοις ἅλας παρετίθεσαν.

137. λάξας τράπεζαν: τὴν τοῦ Μενελάου λέγει τράπεζαν, φασὶ δὲ ὅτι τὸν Ἀλέξανδρον ἐκτεθέντα ἄρκτος ἐθήλασεν ἐν τοῖς ὄρεσιν.

139. τοίγαρ ψαλάξεις: ἀπὸ παροιμίας, εἰς κενὸν κρούσεις τὰς χορδὰς καὶ ψηλαφήσεις, οὐκ ἐπὶ σίτῳ καὶ δώροις κιθαρίζων· αἰνίττεται δὲ μόριον ἀνδρός.

143. τῆς πενταλέκτρου: τῆς Ἑλένης, πέντε γὰρ αὐτὴν ἔγημαν· Θησεύς, Μενέλαος, Πάρις, Δηίφοβος, Ἀχιλλεὺς κατ' ὄναρ.

144. γυαὶ γὰρ εὐναστῆρας: τὸ ἑξῆς οὕτως· αἱ χωλαὶ γὰρ ἅμναμοι τῆς Τηθύος, λέγει δὲ τὰς Μοίρας, ἐν τοῖς τρισὶν ἀτράκτοις κατέκλωσαν καὶ ἐπεμοίρασαν τοὺς εὐναστῆρας τῆς Ἑλένης τῶν γάμων τὰ πεντάγαμβρα νυμφεῖα μετρήσεσθαι· χωλαὶ δὲ παραδίδονται, ὅτι οὐ ταχέως μετέρχονται τοῖς ἀνθρώποις.

148. πτηνοὺς τριόρχας: ἤτοι τοὺς ἀετοὺς εὐοφθάλμους εἶπεν· εἶδος γὰρ ἱεράκων ὀφθαλμοβόλων· ἢ τῆς Ἑλένης εὐοφθάλμου οὔσης καὶ διὰ τῶν ὀφθαλμῶν ἀπατώσης τοὺς ἄνδρας.

149. τὸν δ' ἐκ Πλυνοῦ τε: Πλυνὸς χωρίον Λιβυκὸν ἀπὸ Λακεδαίμονος, Κᾶρες γὰρ ᾤκουν πόλιν τῆς Λακεδαιμονίας· ἤτοι πόλις ἐν Λιβύῃ ὁ Πλυνός,

---

1. Eurip. Iphig. in Taur. 1193. Haec ex antiquo Scholiasta referens Tzetzes addit: καθάπερ ἄλλοις δοκεῖ καὶ οὐκ ἔμοιγε.

2. Hic quatuor fere verba in attrita Codicis ora perierunt.

11. Post verba veteris Scholiastae αἱ χωλαὶ Joannes Tzetzes, ut obloqueretur antiquioribus, quorum scrinia compilabat, inseruit: ἢ κατ' ἐμὲ χωλοποιοὶ καὶ βλαπτικαὶ Μοῖραι, quae perquam inepta sunt; ultima autem hujus Scholii verba, quibus ratio continetur, cur claudicent Parcae, prorsus omisit.

14. μετρήσεσθαι quod Cod. praebet, mutare nolui; in Tzetzianis editum est μερίσασθαι.

16. Post ὀφθαλμοβόλων videtur in Codice nostro excidisse ὁ τριόρχης. Alteram vocis ὀφθαλμίας interpretationem, ut de pulcritudine oculorum ipsius Helenae intelligatur, Joannes Tzetzes ita diffinxit et in turpius vertit: εἰ δὲ ἐπὶ τῆς Ἑλένης λέγοιτο, λέγει τὴν ὀξυδορκοῦσαν καὶ πρὸς λαγνείαν ἀφορῶσαν.

ὅθεν ἦν Ἄτλας· ἀπὸ Ἄτλαντος δέ φασι κατάγεσθαι τὸν Μενέλαον· Ἄτλαντος γὰρ Στερόπη, Στερόπης δὲ καὶ Ὑπερόχου Οἰνόμαος, οὗ Ἱπποδάμεια, ἧς Πέλοψ· Πέλοπος δὲ Ἀτρεύς, οὗ Μενέλαος καὶ Ἀγαμέμνων ἐξ Ἀερόπης μητρὸς, Κρήσσης.

150. *βλαστόντα ῥίζης*: ἡ γὰρ μήτηρ Μενελάου Ἀερόπη ἐκ Κρήτης ὑπῆρχεν, ὁ δὲ Πέλοψ Λυδός, οἱ δὲ Λυδοὶ βάρβαροι· διὰ τοῦτο οὖν *ἡμικρῆτα βάρβαρον*.

151. *Ἐπειὸν οὐκ Ἀργεῖον*: φασί τινες ὅτι ἐν Ἤλιδι ἐγεννήθη διὰ τὸ τὸν Οἰνόμαον ἐκεῖσε βασιλεῦσαι· φησὶν οὖν ὅτι οὔτε Ἐπειὸς οὔτε Ἀργεῖος ἀκραιφνῶς· Ἀργεῖος δὲ νῦν ἀντὶ τοῦ Λακεδαιμόνιος, ὡς λέγει Ἀργείην Ἑλένην.

152. *οὗ πάππον*: Τάνταλος καλέσας τοὺς θεοὺς εἰς εὐωχίαν, παρέθηκε τὸν υἱὸν αὐτοῦ Πέλοπα θύσας, ἵνα φάγωσι, τὸ φιλόξενον αὐτοῦ ἐνδεικνύμενος. οἱ δὲ γνόντες ἀπέσχοντο· μόνη δὲ Δημήτηρ οὐκ ἔγνω διὰ τὸ μεμηνέναι αὐτὴν, διὰ τὴν ἁρπαγὴν τῆς Κόρης· ὅθεν λαβοῦσα . . . . ἐπώνυμα Δήμητρος· καὶ Καλλίμαχος Ἐριννὺν καλεῖ τὴν Δήμητρα λέγων·

Ἐριννὺϊ Τιλφωσαίῃ.

Θουρία δὲ ἡ ὁρμητικὴ καὶ ἔνθους διὰ τὴν τῆς Κόρης ἁρπαγήν. *ξιφηφόρος* δὲ, διότι ἐν τῇ Βοιωτίᾳ ἵδρυται ἡ Δημήτηρ ξίφος ἔχουσα, ὅθεν ξιφηφόρον αὐτὴν εἶπεν.

---

9. In fine Scholii aut supplendum est, ὡς λέγει καὶ Ὅμηρος Ἀργ. Ἑλένην, aut respexit vetus Scholiasta ad Lycophronis v. 850 Ἀργείαν κύνα.

13. Hic, ubi lacunae signa posuimus, codicis scriptura prorsus evanuit. Sunt autem haec ita supplenda: τὴν ὠμοπλάτην ἔφαγεν. Ἐνναία δὲ καὶ Ἕρκυννα καὶ Ἐριννὺς ἐπώνυμα Δήμητρος.

16. Τιλφωσαίῃ. Callim. fragm. 207. Blomf. Non debuit Muellerus neque mutare lectionem Τιλφωσαίῃ, quam Codd. h. l. et ad v. 1225 omnes praebent, neque, Sebastianum sequutus, addere priorem partem fragmenti Callimachei, quam h. l. nullus, ad v. 1225 autem omnes libri exhibent.

17. Joannes Tzetzes, qui haec transcripsit, post ἁρπαγὴν addidit: ὡς ληροῦσιν.

156. *ὃν δὴ δὶς ἡβήσαντα*: ὅτι ἐξῆς ἔστειλεν ὁ Ζεὺς τὸν Πέλοπα ἀγωνισόμενον εἰς πέτραν τοῦ Μόλπιδος, καὶ ἀναιρήσοντα τὸν τοὺς γαμβροὺς φονεύοντα Οἰνόμαον, πενθερὸν αὐτῷ ὄντα, ὃν ἀνεῖλεν ὁ Πέλοψ ταῖς βουλαῖς Μυρτίλου.

157. *φυγόντα Λαυμέδοντος*: τὸν Ποσειδῶνα λέγει· ἤρα γὰρ αὐτοῦ καὶ ἁρπάξαι ἤθελεν· ἢ Ναυμέδοντος, τοῦ τῶν νεῶν βασιλέως, ἢ Λαυμέδοντος, τοῦ ἀλὶ μέδοντος, κατὰ συναλοιφήν· τὸν δὲ ἔστειλεν ὁ Ζεὺς ἀπὸ τῆς Λυδίας· τὸ δὲ Ἐρεχθεὺς ἐπὶ τοῦ Ποσειδῶνος, ἄλλοι δὲ ἐπὶ τοῦ Διὸς ἤκουσαν.

160. *τοῦ Ζηνὶ δαιτρευθέντος*: αὐχμοῦ κατασχόντος τὴν Ἦλιν ἔχρησε σφαγιάσαι αὐτοὺς ἐπὶ τῇ παύσει τοῦ αὐχμοῦ παῖδα εὐγενῆ, καὶ ἐσφαγίασαν ἑκόντα Μόλπιν τινὰ λεγόμενον, καὶ εὐθέως ἐῤῥύη ὑετός· οἱ δὲ Ἠλεῖοι ἐποίησαν ὀμβρίου Διὸς ἱερὸν, ἐν ᾧ ἔστιν ἀνδριὰς τοῦ Μόλπιδος. Μόλπιδος οὖν πέτραν τὴν Ἦλίν φησιν, ἔνθα καὶ ἠγωνίζετο ὁ Οἰνόμαος μετὰ τῶν μνηστήρων τῆς θυγατρὸς αὐτοῦ Ἱπποδαμείας, καὶ νικῶν αὐτοὺς ἀπέκτεινεν· ἐλθὼν οὖν ὁ Πέλοψ καὶ ἀγωνισάμενος ἐνίκησε τὸν Οἰνόμαον, καὶ ἔλαβε τὴν Ἱπποδάμειαν.

161. *γαμβροκτόνον*: δόλῳ γὰρ ἐνίκησεν ὁ Πέλοψ τὸν Οἰνόμαον κατὰ βουλὴν Ἱπποδαμείας καὶ Μυρτίλου, οἵτινες τοὺς τροχοὺς τοῦ ἅρματος αὐτοῦ ἐποίησαν ἐν τῷ τρέχειν ἐκπεσεῖν, ἐκβαλόντες τὰ σίδηρα τὰ ἐμπεπηγμένα καὶ κατέχοντα τοὺς τροχοὺς πρὸς τὸ μὴ ἐξέρχεσθαι ἐν τῷ τρέχειν.

---

1. Hic eruditionis suae rivulos aperuit Joannes Tzetzes, longam texens de Pelope Myrtilique fraude et exitio narrationem, maximam partem ex Eudociae Violeto desumptam, cujus in fine quasi indignabundus lectorem his verbis compellat:

   ἀλλ', ὦ φίλος, μὴ Τζετζίου κίνει φρένας,
   λέγων τὰ πάντα σοι πλατυτέρως γράφειν.

   Sic enim scribenda et in versus redigenda sunt, quae h. l. in editis leguntur. Gemellum Tzetzae locum invenies infra ad v. 177 (pag. 454—455 edit. Müll.) et in Scholiis Hesiodeis pag. 28, 7 edit. Gaisf.

5. Cod. Vatican. lectionem *Λαυμέδοντος* etiam in textu exhibet. Tetigit eam Joannes Tzetzes his verbis: *κἂν τινες μεταγραφικὸν πταῖσμα Λαυμέδοντος ἔχωσιν.*

9. Post *ἔχρησε* videtur excidisse aut e lemmate intelligendum esse, *ὁ Ζεύς*. Tzetziana exscripsit Favorinus Lex. s. v. *Μόλπιδος πέτραν* fol. 364 rect.

163—165. *τὸν δὲ λοῖσθον*: παίζει ὁ Λυκόφρων εἰς τὸ λοῖσθον πότον. φησὶν οὖν τὸν ἔσχατον σκύφον πιὼν τὸν Νηρέως, ἀντὶ τοῦ τὸ τελευταῖον πόμα, εἰς τὸ καλούμενον ἀπ' αὐτοῦ Μυρτῷον πέλαγος κατέδυσεν, ὃ τὸ ἑξῆς λέγει καὶ τάφους Νηρέως καὶ σκύφον. τὸ δὲ *πανώλεθρον κηλῖδα*· κατηράσατο γὰρ ὁ Μυρτίλος τῷ γένει τῆς Ἱπποδαμείας, διότι ἐρῶν αὐτῆς εἰς τὴν θάλασσαν ἐῤῥίφη, ὥς φησιν Εὐριπίδης ἐν Ὀρέστῃ· . . . . ὁ Μυρτίλος Οἰνομάου . . . ψύλλ . . . ν . . ἵππου.

168. *τὸν δ' αὖ τέταρτον*: μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν Δηϊφόβῳ ἐγαμήθη ἡ Ἑλένη. λέγει οὖν τὸν Δηΐφοβον λαβεῖν τὰ δευτερεῖα τοῦ πολέμου· ὁ γὰρ Ἕκτωρ εἶχε τὰ πρωτεῖα· οὗτος δὲ μετ' ἐκεῖνον ἦν ἄριστος τῶν τοῦ Πριάμου παίδων.

172—175. *τὸν ἐξ ὀνείρων πέμπτον*: τὸν Ἀχιλλέα φησί· κατ' ὄναρ σὺν αὐτῇ ἐμίγη οὗτος· *ἐστροβημένος δὲ*, ἀντὶ τοῦ τεταραγμένος. τὸν *μελλόνυμφον*· μυθεύονται γάρ, ὅτι μετὰ θάνατον Ἀχιλλεὺς ἤγαγε Μήδειαν τὴν Αἰήτου ἐν μακάρων νήσοις. *Κυταϊκὴ* δὲ ἡ Μήδεια, Κύτη γὰρ πόλις Κολχίδος· *ξεινοβάκχη* δέ, διότι ξένῳ ὄντι τῷ Ἰάσονι συνεφιλιώθη κατ' ἔρωτα αὐτοῦ καὶ ἐξεβακχεύθη, καὶ δι' αὐτὸν ἀνεῖλε τὸν Ἄψυρτον τὸν ἴδιον ἀδελφόν.

175—178. *ὅν ποτ' Οἰνώνης φυγάς*. Οἰνώνεια ἐκαλεῖτο ἡ Αἰγίνα, ἀφ' ἧς ἔφυγεν ὁ Πηλεύς, φονεύσας τὸν ἴδιον ἀδελφὸν Φῶκον. εὐξαμένῳ δὲ πατρὶ τῷ Αἰακῷ οἱ μύρμηκες ἐγένοντο ἄνδρες. οὐ λέγει οὖν ὅτι ὁ Πηλεὺς αὐτοὺς ἄνδρας ἐποίησεν ἐκ μυρμήκων, ἀλλ' ὑπὸ τοῦ πατρὸς γεγονότας ἄνδρας· ἐκεῖνος γὰρ ἠνδρείωσεν εἰς δύναμιν· τὸ γὰρ ἄνδρας ἀντὶ *τοὺς ἀνδρείους*. τὸ δὲ *ἀφ' ἑπτὰ παίδων* λέγει, ὅτι ἡ Θέτις ἑπτὰ ἄῤῥενας παῖδας εἶχεν ἐκ Πηλέως,

---

6. Eurip. Orest. v. 859. Herm. Quae sequuntur in Codice ita detrita sunt, ut plura, quam quae posuimus, extricari nequeant. Videntur autem ita supplenda esse: *ἡνίοχος δὲ ὁ Μυρτίλος Οἰνομάου ἦν· Ψύλλα δὲ ὄνομα ἵππου.*

14. Quae ad hunc versum larga sane manu e fabula Medeae protulit Tzetzes, maximam partem leguntur etiam apud Favorinum Lex. s. v. *Κυταΐς*, fol. 328 vers. edit. Rom.

καὶ τῶν μὲν ἓξ εἰς πῦρ βάλλουσα ἀνεῖλεν, ὡς ἀνάξια πάσχουσα ἑαυτῆς· ἐπὶ δὲ τοῦ Ἀχιλλέως ἐφωράθη καὶ ἐκωλύθη.

181. *σφῆκας δαφοινούς: τοὺς ἄγαν φονίους. χηραμοὶ δὲ λέγονται αἱ καταδύσεις τῶν ὄφεων καὶ σφηκῶν καὶ μελισσῶν, καὶ εἴ τι ἄλλο τοιοῦτον ζῶον, οἷον ἀσπάλαξ· δαφοινοὺς δὲ καὶ . . . . . νούς.*

183. *οἱ δ' αὖ προγεννήτειραν: τὴν πρότερον γεννήσασαν τὸν ἐπώνυμον τοῦ πολέμου Νεοπτόλεμον. οὐλαμώνυμον τὸν Νεοπτόλεμον, προγεννήτειραν δὲ λέγει τὴν Ἰφιγένειαν, ἐπεὶ κατά τινας ὁ Πύῤῥος ἐκ ταύτης καὶ Ἀχιλλέως ἐγένετο. Μετὰ δὲ τὸ σφαγῆναι αὐτὴν παρέθετο ὁ Ἀχιλλεὺς τὸν παῖδα τῇ Δηϊδαμίᾳ ἐν Σκύρῳ· προγεννήτειρα οὖν τοῦ Πύῤῥου ἡ Ἰφιγένεια· ἄλλοι δέ φασιν, ὅτι γράφει οὐλαδωνύμου, ἵνα δηλοῖ τὸν Πάριν. οὐλὰς δὲ πήρα· διὰ τὴν πήραν οὖν ἐκλήθη Πάρις ὁ Ἀλέξανδρος· οἱ γὰρ ποιμένες ἐν πήρᾳ αὐτὸν ἐκτεθέντα εὗρον. οὐλὰς δέ, ὡς εἴρηται, ἡ πήρα. προγεννήτειρα δὲ τοῦ Πάριδος ἡ Ἰφιγένεια ἀντὶ τοῦ προγονή, ὥσπερ εἴ τις λέγοι προγεννήτειραν εἶναι τοῦ Αἰγίσθου τὴν Χρυσόθεμιν, τὴν ἐκ τοῦ προτέρου ἀνδρὸς γενομένην τῇ Κλυταιμνήστρᾳ· ἡ δὲ Ἰφιγένεια κατά τινας Ἑλένης θυγατήρ ἐστιν, ὡς δὴ καὶ αὐτὸς Λυκόφρων λέγει:*

δυοῖν πελειαῖν ὠρφανισμένην γονῆς.

---

2. Quae in Codice nostro post nomen *Ἀχιλλέως* librarii errore repetita leguntur, *ὡς ἀνάξια πάσχουσα ἑαυτῆς*, omisimus.

5. Supple: *κελαινούς*. Vid. Hesych. s. h. v. et Etym. M. pag. 250, 19.

7. Cod. *τοῦ πολεμίου*.

11. Quae de lectione *οὐλαδωνύμου* in antiquo hypomnemate invenerat, rettulit quidem Joannes Tzetzes, sed his verbis refutavit: *τοῦτο δὲ λῆρός ἐστι· πηρωνύμου γὰρ λοιπὸν ὤφειλεν εἰπεῖν ἢ σακκωνύμου; οὐ μὴν οὐλαδωνύμου· οἱ γὰρ ποιμένες ἐν πήρᾳ αὐτὸν ἐκτεθέντα εὗρον.* Reliqua veteris Scholii dissecuit suisque intermiscuit, ita ut verba *προγεννήτειρα δὲ τοῦ Πάριδος ἡ Ἰφιγένεια ἀντὶ τοῦ προγονή* (privigna; vitiose apud Tzetzam editum est *πρόγονος*) *ὥσπερ εἴ τις λέγει κ. τ. λ.* infra demum ad v. 200 adscripta inveniantur. Totam hanc de Iphigenia narrationem ex Eudociae Violeto desumptam in suam farraginem transtulit Favorinus s. v. *Νεοπτόλεμος*, fol. 372 vers. edit. Rom.

τὸ ἑξῆς· οἱ δὲ Ἕλληνες χερνίψαντες, ἤτοι τὴν Ἰφιγένειαν σφαγιάσαντες, στεῤῥὰν ἐρεσίαν ἐνοπλίσουσιν.

186—189. ἢν ὁ ξύνευνος: φασὶν ὅτι μετὰ τὸ ἁρπαγῆναι τὴν Ἰφιγένειαν ὑπὸ Ἀρτεμίδος, ἀκούσας Ἀχιλλεὺς, ὅτι ἐν Σκυθίᾳ ἐστὶν, ὥρμησε ζητῶν αὐτὴν, καὶ μὴ εὑρὼν, ᾤκησε περὶ τὴν Λευκὴν νῆσον, ἥ ἐστιν ἐν τῷ Εὐξείνῳ πόντῳ. Σαλμυδησίας ἁλὸς δὲ, ποταμὸς Θρᾴκης καὶ βάλλων εἰς τὸν Εὔξεινον πόντον, ἀφ' οὗ δὲ τὴν ὀνομασίαν ἔλαβεν ὁ Λυκόφρων· τὸ δὲ Ἑλλάδος χαρατόμον, τὴν ὑπὸ τῶν Ἑλλήνων φησὶ χαρατομηθεῖσαν ἐν Αὐλίδι· ἢ ἐνεργητικῶς, τὴν τοὺς Ἕλληνας χαρατομοῦσαν, διὰ τὴν ἐν Ταύροις ὑπ' αὐτῆς ξενοκτονίαν. Δαρὸν δὲ φαληριῶσαν οἰκήσει σπίλον· ἐπὶ πολὺν χρόνον τὴν καλουμένην Λευκὴν νῆσον· σπίλος δὲ ἡ νῆσος εἴρηται· τὸ δὲ Κέλτρου, ὄνομα λίμνης βαλλούσης εἰς τὸν Εὔξεινον πόντον.

192—199. βαθὺς ἔσω ῥηγμῖνος: ἐν Σκυθίᾳ ἐστὶν αἰγιαλὸς εἰς μῆκος διήκων χιλίων, ὃς καλεῖται Ἀχιλλέως δρόμος· ἀπὸ κοινοῦ δὲ τὸ στένοντος ἄτας καὶ κενὴν ναυκληρίαν, καὶ τὴν ἄφαντον εἶδος ἠλλοιωμένην· ἄφαντον δὲ εἶδος, οἱ μέν φασιν ἄρκτον, οἱ δὲ ἔλαφον ὑποβεβλῆσθαι ἀντ' αὐτῆς· γραῖαν δὲ, τὴν γεγηρακυῖαν ἐν τοῖς σφαγίοις, ἢ τὴν μεταβληθεῖσαν εἰς γραῖαν, διὰ τὸ μὴ γνωρισθῆναι ὑπὸ τῶν Ἑλλήνων. τὸ δὲ πέλας ἀπὸ κοινοῦ· ἔστι δὲ ὑπέρβατον· καὶ πέλας τοῦ κρατῆρος τοῦ Ἅιδου τοῦ παφλάζοντος ἐκ βυθῶν τῷ πυρί. Ἅιδου δὲ κρατῆρα λέγει τὸν λέβητα, διὰ τὸ εἰς αὐτὸν σφαγιαζομένους τοὺς ξένους εἰςβάλλεσθαι. ἄλλοι δέ φασι χάσμα εἶναι ἐν Ταύροις, ἐξ οὗ φλόγα φέρεσθαί φασιν, ἐς ὃ τοὺς ἀναιρουμένους ἔῤῥιπτεν ἡ Ἰφιγένεια· δαιταλουργίᾳ δὲ, τῇ ἐν Ταύροις ξενοκτονίᾳ.

200—202. Χὼ μὲν πατήσει χῶρον: ὁ μὲν οὖν Ἀχιλλεὺς, φησὶ, πέντε ἔτη εἰς Σκυθίαν θρηνῶν διατρίψει ἱμείρων τοῦ λέχους τῆς Ἰφιγενείας. οἱ δὲ

1. Cod. στεράν.
10. Cod. σπῖλον.
14. χιλίων, supple σταδίων.
22. Vid. Eurip. Iphig. Tauric. v. 614 Herm. πῦρ ἱερὸν ἔνδον χάσμα τ' εὐρωπὸν πέτρας.

Ἕλληνες, φησὶν, ἐν Αὐλίδι περὶ τὸν βωμὸν τοῦ Διὸς ἑωρακότες τὸν δράκοντα, τὸν σὺν μητρὶ τοὺς στρουθοὺς φαγόντα, ὅρκους ἀλλήλοις δόντες πλεύσουσιν εἰς Τροίαν. Τινὲς δὲ τὸ Κρόνου ἀντὶ τοῦ Κρονίδου νῦν ἀνέγνωσαν, ἵν' ᾖ τοῦ Διός· οἱ δὲ ἀντὶ τοῦ Κρόνου καί φασιν, ὅτι τὸ ἐν Δελφοῖς μαντεῖον πρότερον τοῦ Κρόνου ἦν, ἔνθα ἔλαβον τὸν χρησμὸν οἱ Ἕλληνες, ὅτι τῷ δεκάτῳ ἔτει τὴν Ἴλιον πορθήσουσι. τὸ δὲ ἑξῆς οὕτως ληπτέον· τοῦ προμάντιος Κρόνου τὸν δράκοντα· καὶ γὰρ ὁ δράκων ἐμαντεύσατο, ὥς φησιν Ὅμηρος, ἀλλ' ὕστερον τοῦ Κρόνου. πρόμαντις οὖν ὁ Κρόνος, ὁ πρὸ τοῦ δράκοντος μαντευσάμενος, ὑστερόμαντις δὲ ὁ δράκων.

204—209. ὅρκων τὸ δευτεροῦχον: ἐκ δευτέρου, ἢ τὸ δεύτερον. ἐπεὶ τὸ πρῶτον ὅρκους ἔδωκαν περὶ τῆς Ἑλένης, ὥς φησιν Ἡσίοδος, νῦν δὲ περὶ τῆς στρατείας, ὅπερ ἐστὶ δευτεροῦχον· σωτῆρα δὲ Βάκχον τὸν Διόνυσόν φησιν, ὅστις αὐτοὺς ἔσωσε τὸ πρὶν ἐν Μυσίᾳ ὑπὸ Τηλέφου μέλλοντας ἀπόλλυσθαι, ἀναδοὺς ἐξ αὐτομάτου ἄμπελον καὶ σφήλας τὸν Τήλεφον, ὅθεν καὶ Σφάλτης ἐκλήθη· τῶν πάροιθεν δὲ, ἐπεὶ καὶ πρῶτον ἐπλανήθησαν καὶ ἐδιώχθησαν ὑπὸ Τηλέφου· τὸ δὲ Δελφινίου παρ' ἄντρα· φασὶν ὅτι Ἀγαμέμνων κατὰ χρησμὸν ἐν Δελφοῖς ἐλθὼν, ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ ἔθυσε τῷ Διονύσῳ. Δελφίνιος οὖν καὶ Κερδῷος ὁ Ἀπόλλων· Ταῦρος δὲ ὁ Διόνυσος, διότι κερατοφόρον αὐτὸν γράφουσιν, ὡς καὶ Εὐριπίδης ἐν Βάκχαις·

καὶ πρόσθεν ἡμῖν ταῦρος ἡγεῖσθαι δοκεῖ·

---

3. *Τινὲς δὲ τὸ Κρόνου κ. τ. λ.* Prior pars antiqui Scholii a compilatore servata est; post verba autem *τὸ δὲ ἑξῆς οὕτως ληπτέον* ea, quae ad rem faciunt, omissa et alia admista sunt, quae ad sequentem versum pertinent.

8. Cod. *ὕστερον μάντις*.

11. Hesiod. *Ἔργ.* v. 164.

20. Eurip. Bacch. v. 920. Miro errore Muellerus ad hunc locum adnotavit: „Codd. omnes omittunt *ταῦρος*, quod Tzetzes, cum ex praecedentibus facile intelligeretur, omittere poterat.“ At legitur *ταῦρος* in omnibus, quotquot inspexi, libris Mss., etiam in Codd. Vitebergensibus et Cizensi, quibus Muellerus usus est, neque potuit omitti vox h. l. omnino necessaria.

κρυφαίας δὲ χερνίβας, ὅτι ἐν παραβύστῳ ἐτελεῖτο τῷ Διονύσῳ τὰ μυστήρια.

211—214. ᾧ θυμάτων πρόσπαιον: ᾧτινι Ἀγαμέμνονι ἀμειβόμενος ὁ Διόνυσος ἀντὶ τῶν θυμάτων πρόσφατον χάριν, τὸν Τήλεφον σχήσει τοῦ μὴ ἑλεῖν τοὺς Ἕλληνας, ἀμπέλου κλήματι τοὺς πόδας αὐτοῦ περιπλέξας καὶ ἐμποδίσας αὐτόν. Ἐνόρχης δὲ ὁ Διόνυσος, διότι μετ' ὀρχήσεως αὐτοῦ ἐπετελεῖτο τὰ μυστήρια · ὁ αὐτὸς δὲ Φιγαλεὺς τιμᾶται ἐν Ἀρκαδίᾳ, καὶ Φαυστήριος, διὰ τὸ μετὰ φωτὸς καὶ λαμπάδος ἐπιτελεῖσθαι αὐτοῦ τὰ μυστήρια. δαίμων Ἐνόρχης ὁ Διόνυσος παρὰ Λεσβίοις · φασὶ δύο ἀδελφοὺς συμμιγέντας τὸν Θυέστην καὶ τὴν Δαιτώ, ἐξ ὧν ἐτέχθη πρῶτος παῖς Ἐνόρχης, ἀφ' οὗ καὶ ὁ Διόνυσος Ἐνόρχης · ὁ γὰρ παῖς αὐτῷ ἱδρύσατο ἱερὸν καὶ ἐκάλεσε ἀπὸ τοῦ ἰδίου ὀνόματος · λέγεται δὲ ἐξ ᾠοῦ γεννᾶσθαι.

216. λεύσω πάλαι δὴ σπεῖραν: ἡ μεταφορὰ ἀπὸ τῶν δρακόντων τῶν ἐσπειρημένων καὶ ἐνειλημένων καὶ ῥοιζούντων · ὁλκαίων δὲ, ἀπὸ τοῦ ὁλκοῦ · τὴν δὲ συναγωγὴν τὴν τῶν νεῶν σπεῖραν κακῶν λέγει.

219—222. ὡς μή σε Κάδμος: Κάδμος ὁ Ἑρμῆς, ἀντὶ Καδμίλος κατὰ συγκοπὴν, ὡς γαμφηλὰς καὶ γαμφάς · Καδμίλος δὲ ὁ Ἑρμῆς · τούτου δὲ καὶ Ἴσσης τινὸς νύμφης, ἀφ' ἧς καὶ ἡ Λέσβος ἐκλήθη Ἴσσα, ἐγεννήθη παῖς ὀνόματι Πρύλις · οὗτος μάντις ὤν, προσενεχθέντι τῷ Ἀγαμέμνονι τῇ Λέσβῳ ὑπέθετο τὸν τρόπον τῆς Ἰλίου ἁλώσεως διὰ μαντείας · εἶπε γὰρ τὴν κατα-

4. Cod. λιμάτων.

6. Cod. ὑπετελεῖτο.

7. Φιγαλεύς. Joannes Tzetzes, alteram scripturam Φηγαλεὺς amplectens, adnotavit haec: ἐμοὶ δοκεῖ διὰ τοῦ ἦτα γράφεσθαι, παρὰ τὸ ἐν φηγοῖς καὶ ὄρεσιν ἅλλεσθαι · ἄλλοι δὲ διὰ τοῦ ι γράφοντες Φιγαλέα λέγουσιν ἐν Ἀρκαδίᾳ τιμᾶσθαι Διόνυσον. Et rejiciens etiam interpretationem vocis Φαυστήριος, statim subjungit: ἐγὼ δέ φημι ἀλληγορικωτέρως Διόνυσον Φαυστήριον διὰ τὴν τοῦ οἴνου θερμότητα.

17. Jo. Tzetzes pro γαμφηλὰς dedit γαμφίδας, locum ita diffingens: κατὰ συγκοπὴν γὰρ εἶπε τὸν Κάδμον · Καδμίλος γὰρ ἦν, ὥσπερ τὰς γαμφίδας γαμφάς. Respexit autem vetus Scholiasta ad Lycophronis vv. 152 et 358.


σκευὴν τοῦ δουρείου ἵππου δώροις πεισθεὶς ὑπὸ Παλαμήδους. Ἄτλας · ου Μαῖα, ἧς καὶ Διὸς Ἑρμῆς, οὗ Πρύλις · καὶ πάλιν Ἄτλας, οὗ Ἠλέκτρα, ἧς καὶ Διὸς Δάρδανος, ἀφ' οὗ οἱ Τρῶες · ὅθεν συγγενὴς ὁ Πρύλις Τρώων.

224—227. *μηδ' Αἰσακείων: Αἴσακος, υἱὸς Πριάμου, μάντις ὤν, ἔχρησε τῷ Πριάμῳ γεννηθέντα τὸν Ἀλέξανδρον ἀνελεῖν σὺν τῇ τεκούσῃ · ὁ δὲ οὐκ ἐπείσθη · νυκτίφοιτα δὲ δείματα λέγει τὸ ὄναρ τῆς Ἑκάβης, ὅτι εἶδεν δαλὸν τῆς μήτρας αὐτῆς ἐξελθόντα. μιᾷ δὲ κρύψας · τὸ ἑξῆς, μιᾷ μοίρᾳ, ἤτοι ἑνὶ θανάτῳ. διπλοῦς δὲ, Ἑκάβην καὶ Ἀλέξανδρον. Λημναίῳ δὲ πυρὶ, παρ' ὅσον ἐν Λήμνῳ μυθεύονται εἶναι τοῦ Ἡφαίστου τὰς καμίνους.*

229. *καὶ δὴ Παλαίμων: Παλαίμων ὁ Μελικέρτης, ὁ τῆς Ἰνοῦς υἱὸς, σφόδρα ἐτιμᾶτο ἐν τῇ Τενέδῳ, ἔνθα καὶ βρέφη αὐτῷ ἐθυσίαζον.*

232—238. *καὶ δὲ διπλᾶ: Κύκνος, Τρὼς ὤν, εἶχε παῖδας δύο ἐκ Προκλείας, Τέννην καὶ Ἡμιθέαν · ἀποθανούσης δὲ Προκλείας ἐπέγημεν ὁ Κύκνος Φιλονόμην, ἥτις ἐρασθεῖσα τοῦ Τέννου καὶ μὴ τυχοῦσα τῆς ἐλπίδος, κατηγόρησεν αὐτοῦ πρὸς τὸν πατέρα, ὡς βιασθεῖσα ὑπ' αὐτοῦ, συμφωνοῦντος αὐτῇ καὶ αὐλητοῦ τινος Μόλπου. ὁ δὲ ὀργισθεὶς ἐνέβαλε καὶ τὸν Τέννην καὶ τὴν Ἡμιθέαν εἰς λάρνακα, καὶ ἀφῆκε φέρεσθαι ἐν τῇ θαλάσσῃ. ἡ δὲ λάρναξ προσωρμίσθη τῇ Τενέδῳ, τότε Λευκόφρυϊ καλουμένῃ, ἣν ἀφ' ἑαυτοῦ ὁ Τέννης Τένεδον προσηγόρευσεν. ἀκούσας δὲ ὁ Κύκνος, ἀνεῖλε μὲν τὴν Φιλονόμην, αὐτὸς δὲ ἐλθὼν συνῴκησε τοῖς παισὶν ἐν Τενέδῳ. ἐλθὼν οὖν Ἀχιλλεὺς ἀνεῖλε καὶ αὐτὸν καὶ τὸν Τέννην · ἡ δὲ Ἡμιθέα διωκομένη ὑπ' αὐτοῦ, καὶ φεύγουσα*

1. In adversa Cod. Vatic. ora ab alia, sed perantiqua manu, haec adscripta legitur genealogia:



7. Cod. vitiose *τῆς μητρός*.

τὴν μίξιν, εἰς γῆν κατεπόθη. τὸ δὲ *στυγνὸς ἄρταμος*· εἴωθεν ὁ Λυκόφρων λαμβάνειν ἀντὶ τοῦ φονεὺς, ἴσως δὲ παρὰ τὸ, *στυγέῃ δὲ καὶ ἄλλος*. τὸ δ' *αἰθυόθρεπτος*· φασὶν, ὅτι Κύκνος ἐκ λαθραίας μίξεως τεχθεὶς καὶ διὰ φόβον ἐκτεθεὶς, εὑρέθη ὑπὸ ἁλιέων τινῶν ἔχων πέριξ αὐτοῦ κύκνους, οὓς διώξαντες ἀνέλαβον τὸ παιδίον, Κύκνον καλέσαντες ἐκ τοῦ συμβάντος· εἶδος δὲ ἀντὶ τοῦ εἴδους ἔλαβεν, ὤφειλε γὰρ εἰπεῖν κυκνόθρεπτος. *Πορκέων*, τῶν ἁλιέων· πόρκος γὰρ ὁ σπάρτος. *λιναγρετὴς* δὲ, ὁ ὑπὸ τῶν ἁλιέων ὥσπερ ἐν λίνοις ἀγρευθεὶς ὁ Κύκνος· *νηρίταις δὲ φίλος*, παρ' ὅσον διέτριβε μετὰ τῶν ἁλιέων.

241—245. *Μνήμων ἐφετμάς:* Μνήμονα λέγει ὃν ἀπέστειλεν ἡ Θέτις μετ' Ἀχιλλέα πρὸς τὸ μιμνήσκειν αὐτὸν τοῦ μηδένα τῶν Ἀπόλλωνος παίδων ἀνελεῖν· εἵμαρτο γὰρ αὐτῷ τότε ἀποθανεῖν, ὅταν ἀποκτείνῃ ἐκ τῆς Ἀπόλλωνος γενεᾶς τινα. διὸ ἐλθὼν εἰς Τένεδον καὶ ἀνελὼν τοὺς περὶ Κύκνον καὶ Τέννην ἐξ Ἀπόλλωνος ὄντας, εἰς ἔννοιάν τε ἐλθὼν ὕστερον, ἀνεῖλε καὶ τὸν Μνήμονα, διὰ τὸ μὴ ὑπομνῆσαι καὶ κωλῦσαι αὐτόν. ὁ δὲ Τέννης φύσει μὲν ἦν Ἀπόλλωνος, θέσει δὲ Κύκνου. τὸ δὲ *στένει Μύρινα*: μία τῶν Ἀμαζόνων ἡ Μύρινα, ἀφ' ἧς πολίχνιον ἐν Τροίᾳ, καὶ Ὅμηρος·

ἀθανάτοι τε σῆμα πολυσκάρθμοιο Μυρίνης.

τὸ ἑξῆς, παράκτιοι ἠϊόνες· *Πελασγὸν* δὲ τὸ Θετταλικὸν λέγει.

246. *εἰς θῖν' ἐρείσας λοισθίαν:* τελευταῖος γὰρ τῆς νεὼς ὁ Ἀχιλλεὺς ἀπέβη διὰ τὸν χρησμόν· ὅθεν ὁ Πρωτεσίλαος πρῶτος τῆς νεὼς πηδήσας ἀπέ-

---

2. Vetus Scholiasta respicit ad Lycophronis vv. 327 et 797 et ad locum Iliados ά, 186. Scholion, aperte mutilatum, videtur ita supplendum esse: εἴωθεν ὁ Λυκόφρων τὸ ἄρταμος λαμβάνειν ἀντὶ τοῦ φονεύς· στυγνὸς δὲ, ὁ φοβερὸς καὶ στυγητὸς, ἴσως δὲ παρὰ τὸ Ὁμηρικόν· *στυγέῃ δὲ καὶ ἄλλος*. Cf. Schol. Cod. Paris. 345. quae edidimus Anecdot. Tom. II. pag. 215.

7. Cod. κάρτος.

15. Cod. ὑπομνῆσθαι.

18. Iliad. β', 814. Cod. ἀθανάτου τε. Reliquos versus addidit Jo. Tzetzes.

19. Cod. vitiose τὴν Θετταλίαν.

θανε. κρηναῖον δὲ· φασὶ γὰρ, ὅτι πηδήσαντος τοῦ Ἀχιλλέως ἐκ τῆς νεὼς πηγὴ ἀνεδόθη, ὥς φησι καὶ Ἀντίμαχος·

ῥίμφα δ' ἀπ' ἠπείροιο μελαίνης ὑψόσ' ἀερθεὶς
Πηλείδης ἀνόρουσεν ἐλαφρὸς ἠύτε κίρκος·
τοῦ δ' ἔμπροσθε ποδῶν κρήνη γένετ' ἀενάουσα.

249—254. καὶ δὴ καταίθει γαῖαν ὀρχηστὴς Ἄρης: καὶ Ὅμηρος·

τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα.

ἀντὶ τοῦ εὐκίνητος, διὰ τὰς γινομένας ἐν τοῖς πολέμοις πυκνὰς κινήσεις· ὀρχηστὴς Ἄρης, ἐπειδὴ ἐπετήδευον πάλαι μέλη τινὰ πρὸς τὸ παροξῦναί τε καὶ εἰς ἀνδρείαν κινῆσαι τοὺς ἀκούοντας, καὶ Καλλίμαχος·

νόμον δ' ἤεισεν Ἄρηος.

στρόμβῳ δὲ, τῷ κόγχῳ· πρὸ γὰρ τοῦ εὑρεθῆναι τὴν σάλπιγγα τούτῳ οἱ παλαιοὶ ἐν τῷ πολέμῳ ἐχρῶντο. τὸ δὲ πέφρικαν ἀντὶ τοῦ πεφρίκασι, καὶ Ὅμηρος·

ἔφριξε δὲ μάχη φθισίμβροτος·

ἔστι δὲ ἡ λέξις Χαλκιδέων καὶ Ἐρυθριέων, οἱ αὐτοὶ καὶ τὸ ἐσχάζοσαν καὶ ἤλθοσαν ποιοῦσι. κέχρηνται δὲ τούτοις καὶ ἄλλοι τινές· τὸ ἰνδάλλεται οὐ μόνον ἐπὶ τῆς ὄψεως, ἀλλὰ καὶ ἐπὶ τῆς ἀκούσεως.

255—258. πρὸς αἰθέρος κυροῦσα: πρὸς τὸ Ὁμηρικόν·

φωνὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.

νηνέμους δὲ, ταυτέστιν ἡσύχους, διότι κατά τινας ὁ αἰθὴρ ἀκίνητός ἐστιν, ὡς καὶ Πίνδαρος·

---

2. Antimachi verba ad Thebaidos fragmenta rettulit Schellenbergius, pag. 70. seq. Cod. ἀεινάουσα.

7. Iliad. π', 617.

10. Callimachi locus, quem vetus Scholiasta servavit, deest in omnibus, etiam plenissimis libris Mss., qui Tzetzianam Scholiorum recensionem continent. Est novum Callimachi fragmentum, quod videri possit ex Hecale desumptum esse.

14. Iliad. ν', 339.

19. Iliad. ν', 837., ubi nunc legitur ἠχὴ δ' ἀμφοτέρων.

21. Pind. Olymp. I, 10. scripturam aperte vitiosam mutare nolui, quum Codd. meos inter lectiones ἐρήμου et ἐρήμας, quarum alterutra reponenda fuisset, fluctuantes viderem. Sic

ἔρημον δι' αἰθέρα·

τὸ δὲ *χυροῦσι* ἀντὶ τοῦ καταλαμβάνουσι. τὸ δὲ *ἐκεῖνό σ', ὦ τάλαινα*, πρὸς ἑαυτὴν ταῦτα λέγει ἀποδυσπετοῦσα καὶ θρηνοῦσα τὰ μέλλοντα τῷ Ἕκτορι.

260—262. *πτεροῖσι χέρσον*: μεταφορικῶς τοῖς τροχοῖς τοῦ ἅρματος. εἰπὼν δὲ τὸν Ἀχιλλέα ἀετὸν, εἰκότως τοὺς τροχοὺς τοῦ ἅρματος αὐτοῦ πτερὰ ἐκάλεσεν, ὡς ἂν δι' αὐτῶν φερόμενος καὶ πετόμενος. λέγει οὖν τὴν διφρουλκίαν παρ' Ὁμήρῳ τοῦ Ἕκτορος, ὅτε αὐτὸν ἀνεῖλεν ὁ Ἀχιλλεύς. *ῥαιβῷ δὲ τυπωτὴν τόρμαν*· τόρμα αὐτὸ τὸ χάραγμα τὸ ἀπὸ τοῦ τρόχου· ῥαιβῷ δὲ, τύπῳ τῇ ἐπικαμπεῖ, βάσιν δὲ τὸν ἄξονα λέγει· τὸ δὲ *κλάζων τ' ἄμικτον*, ἢ ὅτι ἰδίαν φωνὴν ἔχει ὁ ἀετὸς καὶ [ἐξαίρετον παρὰ τὰ λοιπὰ ὄρνεα, ἢ ὅτι μόνος Ἀχιλλεὺς ἐπολέμει κεχωρισμένος τῶν Ἑλλήνων, ὥς φησι καὶ Ὅμηρος. τὸ δὲ *λαβράζων*, μετὰ ὀργῆς καὶ λαμπρότητος φερόμενος· *περκνὸς δὲ*, ὁ φοβερὸς ἢ ὁ μέλας.

265. *Πτώου τε πατρός*: Πτῷος ὁ Ἀπόλλων, ἐπειδὴ μυθεύονται τῇ Λητοῖ γεννώσῃ αὐτὸν ἐξαπίνης φανῆναι σῦν μέγαν, τὴν δὲ ἰδοῦσαν πτοηθῆναι· καὶ αὐτὴ μὲν Πτῶα καὶ Ἀπόλλων Πτῷος ἐκλήθη. Στησίχορος καὶ Εὐφορίων τὸν Ἕκτορά φασιν εἶναι υἱὸν τοῦ Ἀπόλλωνος, καὶ Ἀλέξανδρος ὁ Αἰτωλῶν ποιητής.

269—270. *λαβὼν δὲ ταύρου*: φασὶν ὅτι Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης τῆς θυγατρὸς Πριάμου ἐδήλωσε τῷ Πριάμῳ συμμαχήσειν αὐτῷ, εἰ λάβοι τὴν παῖδα· ὁ δὲ συνέθετο αὐτῷ δοῦναι, καὶ ἐλθὼν ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλω-

---

Cod. Paris. 2403, liber optimus, exhibet ἐρημούσας δι' αἰθέρος, ita ut duae lectiones in unam coaluerint.

12. Cod. λαμπρότητος. Fortasse λαβρότητος.

14. Haec ex vetere hypomnemate servavit quidem Jo. Tzetzes, sed verbis τῇ Λητοῖ γεννώσῃ inseruit ἐν Δήλῳ, quod ineptum est, quum haec res secundum mythologos in saltuosa Boeotiae regione acciderit, (vid. Steph. Byzant. s. v. Ἀκραιφία, et Pausan. IX, 23) in Delo autem ne potuerit quidem accidere.

νος ἱερῷ ὁ Ἀλέξανδρος λάθρα ἐτόξευσε τὸν Ἀχιλλέα, καὶ οὕτως συνέβη ἀποθανεῖν τὸν ἥρωα. λαβόντες δὲ τὸ σῶμα αὐτοῦ οἱ Τρῶες, ἠσφαλίσαντο οὐ πρότερον δώσειν ἐπαγγελλόμενοι, πρὶν ἂν τὰ δῶρα τὰ ὑπὲρ Ἕκτορος δοθέντα ἐξοπίσω λαβεῖν, ὃ καὶ γέγονε· λαβόντες οὖν τὰ δῶρα ἔδωκαν τὸν νεκρόν. λέγει οὖν, ὅτι πάλιν τὸν ἀντίποινον χρυσὸν ἴσον τῷ σταθμῷ δοὺς ὁ Ἀχιλλεὺς ταφήσεται παρὰ τοῖς Ἕλλησι. σκεθρῷ ταλάντῳ: Ὅμηρος μὲν ἁπλῶς δῶρά φησι τῷ Ἀχιλλεῖ δοθῆναι ὑπὲρ Ἕκτορος· ὁ δὲ Λυκόφρων καὶ ἄλλοι τινὲς ζυγοσταθμηθέντα αὐτὸν ἴσον χρυσὸν δοθῆναι τοῦ βάρους.

272. Πακτώλιον: ποταμὸς Λυδίας, ὅν φασι χρυσοῦ ψήγματα ἔχειν καὶ μέταλλα, ἐξ ὧν τὸν χρυσὸν ποιοῦσι. μύδρος δὲ, κυρίως ὁ πεπυρακτωμένος σίδηρος, παρὰ τὸ μύρεσθαι· κρατῆρα δὲ λέγει κρωσσὸν, τὸν ἀμφιφορέα. Βάκχου δὲ, τοῦ Διονύσου· κρατῆρα τοῦ Διονύσου, ὃν καὶ Ὅμηρος λέγει, ὅτι ἡ Θέτις ἔλαβε παρὰ τοῦ Διονύσου· ἀμφιφορέα δὲ χρυσοῦν, ἔνθα τοῦ Ἀχιλλέως ὀστᾶ κεῖται καὶ Πατρόκλου, καί φησι·

Διονύσοιο δὲ δῶρον
φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο·

νύμφαισι δὲ, ταῖς Μούσαις νῦν· οἶδε δὲ τοῦτο καὶ Ὅμηρος.

275. Λειβηθρίην θ' ὕπερθε Πιμπλείας: ὄρος ἐν Ἑλικῶνι· Πίμπλεια δὲ καὶ πόλις καὶ ὄρος καὶ κρήνη Μακεδονίας, ἧς καὶ Καλλίμαχος μέμνηται ἐν ὕμνοις·

ὡς Μοῦσαι τὸν ἀοιδὸν, ὃ μὴ Πίμπλειαν ἀείσῃ,
ἔχθουσι.

---

6. Hom. Iliad. ω, 58 sq.
15. Hom. Odyss. ω, 74 sq.
17. Hom. Odyss. ω, 60 sq.
21. Cod. Πλεῖαν. Callim. hymn. in del. v. 7. Omnes fere Codd. Tzetzianae recensionis, etiam Parisini 2403 et 2723 et Vatic. 117, libri alioquin optimi, mire h. l. in depravata lectione consentiunt, aut τὸν ἀοιδὸν, ἣν μὴ Πίμπλειος ἀείσῃ, aut vitiosius etiam τὴν ἀοιδὴν, ἣν μὴ

θῆλυν δέ φησιν ἀμφὶ σῶμα, ὅτι ὁ Ἀχιλλεὺς ἀκούων τὸν Ἕκτορα ἀνδρεῖον, καὶ φοβηθεὶς ὑπεκρίθη κόρη εἶναι, καὶ ἐλθὼν ἐν Σκύρῳ ᾤκει μετὰ τῶν τοῦ Λυκομήδους παίδων, ἔνθα καὶ τῇ Δηϊδαμίᾳ συνῆλθε. τὸ δὲ λοῖσθος εἰς γῆν· ἐπεὶ εἵμαρτο τῷ πρώτῳ ἀποβάντι ἀποθανεῖν, ὃ καὶ πέπονθεν ὁ Πρωτεσίλαος· διὸ ὁ Ἀχιλλεὺς εὐλαβεῖτο πρῶτος ἐξελθεῖν.

281—288. *ὦ δαῖμον, οἷον κίον' αἰστώσεις:* κίονα καλεῖ τὸν Ἕκτορα. *δόμων,* τῶν οἴκων· ἐπεὶ ἐκεῖνος ἦν ὁ ἀντεχόμενος καὶ βαστάζων τῇ δυνάμει ἑαυτοῦ οὐ μόνον τὸν οἶκον, ἀλλὰ καὶ ὅλην τὴν Τροίαν. *ἀλλ' ἀμφὶ πρύμναις:* τὸ ἑξῆς τοῦ λόγου οὕτως· οὐ μὴν ὁ Ἕκτωρ δωρεὰν ἀποθανεῖται, καὶ οἱ Ἕλληνες τῷ θανάτῳ αὐτοῦ ἐπιγελάσουσιν ἄνευ προστίμου καὶ τιμωρίας, ἀλλ' ἀμφὶ πρύμναις πεύκαις τὴν ἐσχάτην τοῦ βίου βαλβῖδα δραμὼν, δηλονότι ὁ τῶν Ἑλλήνων στρατὸς, συμφλεχθήσεται· παραφράζει δὲ τὴν παρ' Ὁμήρῳ ναυμαχίαν, ἐν ᾗ φαίνεται Ἕκτωρ διώξας τοὺς Ἕλληνας καὶ κατακαύσας τὴν ναῦν τοῦ Πρωτεσιλάου. *Δωριέα* δὲ στρατὸν λέγει τοὺς Ἕλληνας, ἀπὸ Δώρου τοῦ Ἕλληνος υἱοῦ, ὡς καὶ Ἡσίοδος·

> Ἕλληνος δ' ἐγένοντο φιλοπτολέμου βασιλῆος
> Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.

Φύξιον Δία δὲ, ἵνα φεύγωσιν, ἢ ἵνα γένηται αὐτοῖς αἴτιος φυγῆς.

Πιμπλειος ἀείσει sive ἀείσοι, exhibentes. Alii libri Mss., in quibus, ut in Palatino 40, Scholia decurtata sunt, hunc cum multis aliis poetarum locis prorsus omittunt. Veram lectionem solus servavit Scholiasta Vaticanus.

2. Verba antiqui interpretis suis immiscuit Jo. Tzetzes (vid. pag. 521 edit. Muell.) fabulamque latius exposuit, sed in fine haec omnia rejiciens suo more addidit: ἀλλὰ ταῦτα μὲν πέπλασται καὶ μεμυθολόγηται, τὸ δ' ἀληθὲς οὕτως ἔχει· κ. τ. λ.

16. Hesiodi Genealogiae heroicae fragmentum, quod Jo. Tzetzes h. l. tribus versibus auctum in compilationem suam intulit, idemque, sed brevius, repetivit in Scholiis ad Iliados Exegesin (pag. 831, 14 sq. editionis meae), utroque autem in loco lectionem veteris Scholiastae, φιλοπτολέμου βασιλῆος, quam veram existimo, mutavit in θεμιστοπόλου βασιλῆος, sive θεμιστοπόλοι βασιλῆες, ut nunc editum est. Vid. Hesiodi fragm. XXVIII. pag. 182. edit. Gaisf. et fragm. XXIII. pag. 210. edit. Goettl.

291 — 295. πρόβλημα, καὶ σταυροῖσι κορσωτὴ πτέρυξ: πτέρυγα εἶπεν τοῦ τείχους τὴν περίστασιν τῆς οἰκοδομῆς, οἷον τὴν ὑψηλὴν, παρὰ τὸ κορύττεσθαι · τὸ δὲ κρόσσας μὲν πύργων ἔρυον, οὐ κλίμακας οἶδεν, οὐδὲ λέγει ὅτι κατέλαβον τὰς κλίμακας · ἀλλ' ἦσάν τινες ξύλινοι ὑπότροχοι κλίμακας ἔχουσαι ἄνω προμάχους, ἐφ' αἷς οἱ πολέμιοι ἐφιστάντες ἐμάχοντο τοῖς ἐπὶ τοῦ τείχους · ἔστιν οὖν οὕτως · τὰς κρόσσας ἐπὶ τοῦ τείχους ἔρυον καὶ κατέβαλον τὰς ἐπάλξεις. σταυροῖσι δὲ, ἡ ἑκατέρωθεν οἰκοδομὴ τοῦ τείχους, ὀρθοῖς ξύλοις διειλημμένη, ἅπερ σταυροὺς κέκληκε διὰ τὴν στάσιν, ἢ αὐτὸ τὸ τεῖχος. διὰ τὸ πλάτος. κορσωτὴ δὲ, ἡ κλιμακώδης πτέρυξ, τὸ τεῖχος · γεῖσα δὲ, αἱ στεφάναι. ἄφλαστα δὲ καὶ κόρυμβα · τὰ ἄκρα τῆς νεὼς κατ' εὐφημισμὸν τὰ εὔφλαστα, καὶ κόρυμβα δὲ τὸ αὐτὸ δηλοῖ . καὶ ἔστιν ἐκ παραλλήλου, ἢ διαφέρουσι · τὰ μὲν ἄφλαστα πρυμνήσια, τὰ δὲ κόρυμβα πρωρήσια . κληῖδων δὲ θρόνους: περιφραστικῶς τὰς κληῖδας, ἐν αἷς οἱ ἐρέσσοντες κάθηνται · τὰ αὐτὰ καὶ τὰ σέλματα, ὅθεν Ὅμηρος εὐσέλμους τὰς ναῦς ἔφη.

298 — 305. πολλοὺς δ' ἀριστεῖς: πολλούς φησιν ἀρίστους Ἕλληνας τὴν πρώτην τῆς λείας ἐκ τῆς Ἑλλάδος φέροντας τῷ δόρατι καὶ τῇ ἀνδρείᾳ, καὶ ταῖς σποραῖς καὶ εὐγενείαις ὑψουμένους . αἱ χεῖρες καταξανοῦσι δὲ, διαφθεροῦσι . λέγει δὲ τοὺς περὶ Πάτροκλον καὶ Πηνέλεων καὶ Ἀσκάλαφον καὶ Ἀρκεσίλαον καὶ τοὺς παραπλησίους. Πρωτόλεια δὲ καλοῦνται τὰ τῆς λείας καὶ τῶν λαφύρων τοῦ πολέμου ἐξαίρετα καὶ πρώτιστα, ἅπερ εἰώθασιν οἱ πρῶτοι λαμβάνειν · οἷον ἡ Χρυσηὶς ἐδόθη τῷ Ἀγαμέμνονι, ἡ δὲ Βρισηὶς Ἀχιλλεῖ, καὶ ἡ Τέκμησσα Αἴαντι. τὸ δ' οὐχὶ μεῖον, ἀλλ' ἐκ τοῦ ἐναντίου πολὺ μέγα · ἢ πρὸς σύγκρισιν τοῦ πένθους τῶν Ἑλλήνων · ὅτι οὐχὶ μεῖον πένθος τῶν

---

1. Hoc Scholion, quod etiam inter Tzetziana legitur, aliunde, h. e. ab antiquiore quodam interprete desumptum esse, ipse Tzetzes indicavit addito, ἄλλως. Vid. apud Mueller. pag. 552.
3. Iliad. μ', 258. Homeri nomen in Codice excidit.
11. Cod. εὔθλαστα.
19. Cod. πρωτέλεια.

Ἑλλήνων ὑφέξω. *κράντης δὲ χρόνος*, ἐπειδὴ οἱ ἀρχαῖοι κατὰ σελήνην τοὺς μῆνας ἐψήφιζον. τὸ δὲ ἑξῆς, κράντης αὐδηθήσεται, οἱονεὶ ἐπιτελεστής, ἀπὸ τοῦ κραίνειν.

307—315. *αἲ αἲ στενάζω:* Ἀχιλλεὺς ἐρασθεὶς Τρωίλου τοῦ παιδὸς Πριάμου, καὶ διώκων αὐτὸν ἔμελλε καταλαμβάνειν, ὁ δὲ προσφεύγει εἰς τὸν τοῦ Θυμβραίου Ἀπόλλωνος ναόν· ὁ δὲ Ἀχιλλεὺς βιαζόμενος αὐτὸν ἐξελθεῖν, ἐπεὶ οὐκ ἔπειθε, προσελθὼν ἀνεῖλεν ἐν τῷ βωμῷ, ᾧ, φασὶ, καὶ τιμωρῶν ὁ Ἀπόλλων αὐτόθι παρεσκεύασεν ἀναιρεθῆναι τὸν Ἀχιλλέα. ἐλέγετο δὲ ὁ Τρωίλος φύσει εἶναι υἱὸς τοῦ Ἀπόλλωνος, θέσει δὲ Πριάμου. καὶ *ἄγριον δράκοντα*, τὸν Ἀχιλλέα· *πυρφόρῳ δὲ*, ἔρωτι, διὰ τὸ θερμὸν εἶναι τὸ τοιοῦτον πάθος. ὁ δὲ νοῦς· ὅστις τὸν Ἀχιλλέα τρώσας τῷ ἔρωτί σου τὸν τυπέντα, ἤγουν τὸν Ἀχιλλέα. τὸ δ', *ὦ σκύμνε τερπνὸν*, ἤτοι φίλτατε τῶν ἀδελφῶν. φασὶ γὰρ διδύμους εἶναι Τρωίλον καὶ Κασσάνδραν. ἴυγξ δὲ λέγεται ὁ ἔρως καὶ ὄρνεόν τι, ᾧ

1. Cod. κράντα δὲ χρόνον.

4. Veteris Scholiastae narrationem de Troilo ab Achille ob repudiatum amorem trucidato, his verbis irridet Joannes Tzetzes: καὶ οὕτω μὲν οὗτοι ληροῦσι περὶ τοῦ Τρωίλου· ἐγὼ δὲ τοῦτον τὸν Τρωίλον καὶ βαθεῖαν ἔχοντα τὴν ὑπήνην καὶ μελάγχρουν ἐπίσταμαι. οὐκ οἶδα δέ, εἰ ὁ Θετταλὸς Ἀχιλλεὺς οὕτως ἐρωτικὸς ἦν, ὡς καὶ βαθυγενείων ἐρᾶν· νέος μὲν γὰρ ἦν ὁ Τρωίλος καὶ ὡραῖος, μελάγχρους δὲ καὶ δασυγένειος καὶ Ἀχιλλέως ἐρώτων ἀνάξιος. Tetigit haec Guilielmus Canterus in Lectionibus Novantiquis, lib. II, c. 9, pag. 108. verbisque νέος μὲν γὰρ ἦν ὁ Τρωίλος inserere voluit οὐκ ante ἦν, quod et apud Favorinum se legisse, et in scripto Codice invenisse testatur. Eum secutus est Joannes Potterus in edit. secunda Oxoniensi. At refragatur huic emendationi ipse Jo. Tzetzes, qui in Posthomericis v. 360 sqq. Troilum fuscum quidem et barbatum, sed flore aetatis insignem depingit. Et Sophocles ἀνδρόπαιδα Troilum introduxerat in fabula ejusdem nominis, quod verba testantur a Scholiasta Pindari ad Pyth. II, 121 allata:

τὸν ἀνδρόπαιδα δεσπότην ἀπώλεσα.

Quibus verbis paedagogus videtur regium puerum deplorare, quem praecox audacia incustoditum perdiderat. Notissimus praeterea est **impubes Troilus** dictus Horatio, Od. II. 9, 15, et idem **puer Achilli impar** Virgilio, Aen. I, 475. Alios sciens praetereo. Canteri autem Codicis lectionem non moror, quum etiam inter meos Codices inveniantur, qui locum sic interpolatum exhibeant. Tali libro usus est Favorinus, apud quem verba νέος μὲν οὐχ ὁ Τρωίλος καὶ ὡραῖος leguntur Lex. fol. 508 rect. edit. Rom.

χρῶνται αἱ φαρμακίδες εἰς ἔρωτα. ὅμοιον τὸ ἐν βρόχοις μάρψας ἀφύκτοις· οἱ γὰρ ἐρῶντες δίκην δεσμοῦ ἕλκονται πρὸς τοὺς ἐρωμένους. τῷ ἔρωτι οὐ τετρωμένος πρὸς τοῦ δαμέντος τῷ ἔρωτι Ἀχιλλέως, καρατομηθεὶς τὸν βωμὸν τοῦ πατρός σου Ἀπόλλωνος αἱμάξεις. βαιὸν δὲ χρόνον καὶ ἀστεργῆ· ἐπειδὴ ὀλίγον χρόνον ἦν ἐρῶν αὐτοῦ ὁ Ἀχιλλεύς· ἀστεργῆ, τὸν ἄστατον. τὸ δ' οἴμοι δυσαίων σκύλαξ καὶ διπλᾶς ἀηδόνας, Λαοδίκην φησὶ καὶ Πολυξένην· σκύλακα δὲ τὴν Ἑκάβην, ἐπεὶ εἰς κύνα μετεβλήθη.

319—320. ἵν' ἄλμα πάππου: ἄλμα πᾶν τὸ ἄλσος, παρὰ τὸ ἄλλεσθαι καὶ αὔξεσθαι τὰ φυτά. πάππου δέ, τοῦ Τρωός· ἐκεῖσε δὲ Λαοδίκη διωκομένη ὑπὸ τῶν Ἑλλήνων κατεπόθη. χαμευνάδος δὲ μόροι· ἐπειδή, φασί, ἡ Ἑκάβη ἔσχεν ἀδελφὴν Κίλλαν καλουμένην, ἣ ἐγαμήθη τῷ Θυμοίτῃ. Πριάμου δὲ χρειομένου ἐν Ζελείᾳ περὶ τῆς βασιλείας, ἐχρήσθη αὐτῷ, ἀνελεῖν τὴν νεωστὶ τετοκυῖαν καὶ τὸ γεννηθέν. ἔτυχε δὲ ἡ μὲν Ἑκάβη τεκοῦσα τὸν Ἀλέξανδρον, ἡ δὲ Κίλλα τὸν Μούνιππον. φεισάμενος οὖν τῆς Ἑκάβης ἀνεῖλε τὴν Κίλλαν, καὶ τὸν παῖδα αὐτῆς Μούνιππον. ἐνταῦθα οὖν, φησί, ἡ Λαοδίκη κατεπόθη ἐν τῇ γῇ. λαθρόνυμφος δέ, διότι λάθρα τῷ Πριάμῳ ἐμίγνυτο, ἀφ' οὗ εἶχε τὸν Μούνιππον.

323. σὲ δ' ὠμὰ πρὸς νυμφεῖα καί: Ἀχιλλεὺς ἐρασθεὶς Πολυξένης, καὶ δι' αὐτὴν ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ ἀναιρεθείς, μετὰ τὸ πορθηθῆναι τὴν Ἴλιον ᾐτήσατο καθ' ὕπνους τοὺς ἀρίστους τῶν Ἑλλήνων τὴν Πολυξένην, ὡς ἂν καὶ μετὰ θάνατον ἐρῶν αὐτῆς. οἱ δὲ λαβόντες αὐτὴν ἐσφαγίασαν ἐπὶ τῷ τάφῳ τοῦ ἥρωος, αὐτόχειρ δ' ἐγένετο ὁ Πύῤῥος, ὃν καλεῖ Ἴφιδος λέοντα, ἀντὶ τοῦ τῆς Ἰφιγενείας υἱόν. ταῦτα δὲ ἱστορεῖ καὶ Εὐριπίδης ἐν ταῖς Τρωάσιν καὶ ἐν τῇ Ἑκάβῃ. τὸ δὲ ἦν ἐς βαθεῖαν, λείπει τὸ τάφρον· τοῖς κατοιχομένοις ἐν κοίλοις τόποις ἔθυον. Ποιμανδρίαν δέ, ἥτις καὶ Τάναγρα καλεῖται. στεφηφόρον δὲ βοῦν· τὴν Πολυξένην λέγει, ἐπεὶ ὥσπερ νύμφην αὐτὴν ἐστόλισαν.

---

23. Eurip. Troad. v. 39 sq. Hecub. v. 519

328. *ῥαίσει τριπάτρῳ:* διχῇ ἐκληπτέον τὸ βοῦν · εἰ μὲν γὰρ ἐπὶ τῆς Ἰφιγενείας ἔσται ὁ λόγος, τὸ ἑξῆς οὕτως ἂν εἴη · ἥντινα Ἰφιγένειαν εἰς βαθεῖαν τάφρον, ὥσπερ Βοιωτικὴν βοῦν, λείπει τὸ ὡς, ὁ δεινὸς δράκων, λέγει δὲ τὸν Διομήδην, λαιμοτομήσας ῥαίσει τριπάτρῳ φασγάνῳ Κανδάονος · καὶ γὰρ ὁ Κανδάων καὶ ὁ Ὠρίων παρὰ Βοιωτοῖς · τῷ δὲ ξίφει αὐτῶν ἀνεῖλεν ὁ Διομήδης τὴν Ἰφιγένειαν. *τριπάτρῳ* δὲ, ἐπειδὴ ὁ Ὠρίων Διὸς καὶ Ποσειδῶνος καὶ Ἀπόλλωνος ἦν παῖς. εἰ δὲ καὶ ἐπὶ Πολυξένης ὁ λόγος, ἔσται οὕτως · ἥντινα

---

1. Locus ob quaesitam a Lycophrone ambiguitatem difficilis. Duplicem interpretandi viam, quae iniri possit, ut στεφηφόρος βοῦς aut Iphigenia intelligatur, aut Polyxena; ἄρταμος δράκων aut Diomedes sit, aut Neoptolemus; τρίπατρον φάσγανον aut Orionis, trium Deorum filii ensis dicatur, aut ξίφος Ἡφαιστότευκτον a Peleo Achilli filio, et ab Achille patre relictum Neoptolemo; ut πρωτόσφακτον denique ὅρκιον aut ad Iphigeniam in Aulide sacrificatam, aut ad Polyxenam ob Achillem per insidias interfectum in tumulo ejus mactatam referatur: hanc duplicem interpretandi rationem breviter, sed apte et dilucide vetus interpres exposuit. Multo haec verbosius et latius persequutus est Joannes Tzetzes, remque ita egit, ut aliena suis admiscens, locum impeditum impediret magis, quam expediret. Et in fine longae adnotationis haec addit: καὶ ταῦτα μὲν οἱ λοιποί · ἐγὼ δὲ ἐπ' ἀμφοτέρων πρωτόσφακτον ὅρκιον τὸ ἐκ πρώτης καὶ εὐγενοῦς ῥίζης σφαγιασθὲν θῦμα χάριν τῶν ὅρκων φημί. — Recte hunc locum intellexit Henricus Meen, doctus Anglus, cujus verba e rarissimo apud nos libello, (Remarks on the Cassandra of Lycophron. London, 1800) lectoribus fortasse gratum facturus hic apponam: „The line μητρὸς κελαινῆς χέρνιβας μιμούμενος „is put in a parenthesis, that the antecedent to ἣν may more clearly appear. That antecedent is not μητρός, meaning Iphigenia; but Polyxena, who is the subject of this „prophecy. Iphigenia's sacrifice is not mentioned here. She is here spoken of only as „the mother of Pyrrhus, who massacred the Greeks among the Tauri. Pyrrhus, says „Cassandra, will bear thee, Polyxena, to the altar, not for marriage, but for sacrifice; „imitating his mother's cruelties. Polyxena's story, thus hinted at, is in the following „lines more fully told. Pyrrhus is called δεινὸς ἄρταμος δράκων, Polyxena, στεφηφόρον βοῦν. „Cassandra predicts, that Pyrrhus will bind himself by an oath to the Greeks, that his „sword shall appease the manes of his father — λύκοις ὅρκιον σχάσας. Iphigenia was, at „the commencement of the war, proposed to be sacrificed; but a hind was substituted. „Cassandra recollecting his escape, represents Polyxena as the first-slain victime. The „compound word πρωτόσφακτον conveys this explanation. The commentators, by applying „these lines to Iphigenia's sacrifice are embarrased with regard to the sense of πρωτόσφακτον, and have mistaken the design of the speaker."

Πολυξένην ὁ Πύῤῥος ὥσπερ βοῦν Βοιωτικὴν εἰς βαθεῖαν τάφρον λαιμίσας φθερεῖ. καὶ γράφεται τὸ τριπάτρῳ δοτικῇ· τῷ γὰρ ξίφει τοῦ πατρὸς αὐτοῦ ἀνεῖλεν αὐτὴν, ὅπερ ἦν χαρισάμενος ὁ Ἥφαιστος τῷ Πηλεῖ. τὸ δὲ ξίφος ἐκεῖνο τρίπατρον ἦν τῷ Πύῤῥῳ, εἴπερ ἀπὸ Ἡφαίστου καὶ Πηλέως καὶ Ἀχιλλέως κατήγετο. λύκοις δὲ, τοῖς Ἕλλησι· πρωτόσφακτον δὲ, εἰ μὲν ἐπὶ Ἰφιγενείας λέγοιτο, ἔσται παρ' ὅσον ἐν Αὐλίδι τοὺς ὅρκους ποιήσαντες οἱ Ἕλληνες τοὺς πρώτους, ἀνεῖλον αὐτήν· εἰ δὲ καὶ ἐπὶ Πολυξένης λέγοιτο πρωτόσφακτον, ἔσται παρ' ὅσον προεσφάγη δι' αὐτὴν ὁ Ἀχιλλεὺς εἰς ὅρκους ἐλθών· τὸ δὲ πρῶτον βέλτιον, καὶ δεῖ ἀπὸ τοῦ, ἣν ἐς βαθεῖαν, ἕως κάτω ἐπ' Ἰφιγενείας λαβέσθαι· δύνατον μέντοι καὶ ἐπὶ Πολυξένης.

1155. αἷς ἀκτέριστος: Τίμαιος ἱστορεῖ, ὅτι αἱ παραγενόμεναι παρθένοι ἐδούλευον ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς, δυῶν οὐσῶν· εἰ δέ τις ἀποθάνοι, ἑτέραν παραγίνεσθαι ἀντ' αὐτῆς, ἐκείνην δὲ οὐ θάπτεσθαι ὑπὸ τῶν Τρώων, ἀλλὰ καίεσθαι ἀγρίοις ξύλοις, καὶ τὰ ὀστᾶ αὐτῆς ῥίπτεσθαι εἰς θάλασσαν.

1175. Περσέως δὲ παρθένος: ἡ Ἑκάτη. ὁ γὰρ Ἡσίοδος Πέρσου καὶ Ἀστερίας γενεαλογεῖ αὐτήν· τρίμορφος δὲ, τρικέφαλος, ἢ παρ' ὅσον μετέχει οὐρανοῦ καὶ γῆς καὶ ᾅδου· ἐπωπίδα δὲ, εἰ μὲν δασέως, τὴν ἀκόλουθον, εἰ δὲ ψιλῶς, τὴν ἐπίσκοπον, διὰ τὰς ὦπας.

---

2. τριπάτρῳ δοτικῇ· alteram lectionem, quam vetus Scholiasta improbat, τριπάτρου, paucissimi libri tuentur, ut Cod. Vat. 916. Parisin. 2723. et auctor Paraphraseos his verbis: τῷ ξίφει τοῦ τριπάτρου Ἄρεως (lege Ὠρίωνος) τοῖς λύκοις Ἕλλησι τὸ πρῶτον σφαγὲν ὁρκωμόσιον λύσας.

11. Fabulam de virginibus oraculi jussu per annos mille continuos e Locride Ilium missis, ut scelus ab Ajace in Cassandram virginem commissum expiaretur, latius ad hunc locum, fortasse ipsius Timaei verba sequutus, Joannes Tzetzes exposuit. Apollinis oraculum ex Aeliano servavit Suidas s. v. ποινή (pag. 538 edit. nov.), ubi luculenta est Kuesteri de his puellis Locrensibus adnotatio. Similem poenam Temessaei quotannis luebant, de qua legendus est Pausan. VI. 6. et Suidas s. v. Εὔθυμος.

15. Vid. Hesiod. Theog. 375.

1180. *θύσθλοις Φεραίαν:* Φεραίαν τὴν ἐν Φεραῖς τιμωμένην, καὶ Καλλίμαχος·

Ἄρτεμι Μουνιχίη, λιμένος σκοπὲ, χαῖρε Φεραίη.

ἡ αὐτὴ δὲ δηλονότι τῇ Ἀρτέμιδι ἡ Ἑκάτη.

1226—1227. *γένους δὲ πάππων:* ἐντεῦθεν περὶ Ῥωμαίων λέγει, καὶ Λυκόφρονος ἑτέρου νομιστέον εἶναι τὸ ποίημα, οὐ τοῦ γράψαντος τὴν τραγῳδίαν· συνήθης γὰρ ὢν τῷ Φιλαδέλφῳ, οὐκ ἂν περὶ Ῥωμαίων διελέγετο. *ἄμναμοι δὲ*, ὅτι Ῥῶμος καὶ Ῥωμύλος ἀπὸ Κρεούσης τῆς Πριάμου ἐγένοντο· οἵτινες μετὰ τῶν Ἕκτορος παίδων, Ἀστυάνακτος καὶ Σαπερνίου, ἔκτισαν τὴν πόλιν Ῥώμην.

---

3. Callim. hymn. in Dian. 259. Codices, quos vidi, omnes h. l. neque *πότνια*, neque *λιμενοσκόπε*, quod Muellerus dedit, sed *Ἄρτεμι* omnes, et deinde aut *λιμένος σκοπὲ*, aut vitiosum *λιμὴν σκοπέλου* exhibent.

5. Hanc veteris Scholiastae adnotationem Jo. Tzetzes, priore parte horum verborum allata, temere sic exagitat: *τὰ δὲ λοιπὰ τοῦ σχολαίου* (Codd. mei variant inter *σχολαίου*, *σχολέως*, *σχολίου*, *σχολίων*) *γελοῖα· φησὶ γὰρ Λυκόφρονος ἑτέρου εἶναι τὸ ποίημα, οὐ τοῦ γράψαντος τὴν τραγῳδίαν· συνήθης γὰρ ὢν τῷ Φιλαδέλφῳ, οὐκ ἂν περὶ Ῥωμαίων διελέγετο. τοῦτο δὲ οὐ δύναμαι νοῆσαι, πῶς οὐκ ἔστι τοῦ γράψαντος αὐτό· οὕτω γὰρ ὤφειλεν εἰπεῖν, ὅτι οὐκ ἔστι τοῦ λεγομένου γραφέως αὐτοῦ Λυκόφρονος, ἀλλ' ἑτέρου. ὅπερ φλυαρίας ἐστὶν ἀνάμεστον, ὡσαύτως καὶ τὰ περὶ Ῥώμου καὶ Ῥωμύλου κ. τ. λ.* Quae verba satis probant, eum veteris grammatici mentem aut non assecutum esse, aut noluisse assequi, ut haberet, quod in eo reprehenderet. At brevis illa adnotatiuncula pluris habenda est, quam longae Tzetzianae eruditionis *ἐξηγήσεις*. Manifestum autem est, auctorem hypomnematis non de toto hoc poemate Lycophroni Chalcidensi abjudicando cogitasse, sed eos tantummodo versus, quibus futura Romanorum potentia praedicatur, ut spurios et insititios denotasse. In verbis autem *Λυκόφρονος ἑτέρου* minime haerendum esse puto; etenim non alius cujusdam Lycophronis, sed alterius Lycophronis interpretanda sunt, h. e. poetam significant, non nomine Lycophronem, sed obscuritate et quaesita verborum ambiguitate Lycophroni simillimum. Et sic nomen Lycophronis exponitur in ipso Scholiorum prooemio: *διατί λέγεται Λυκόφρων; διὰ τὸ αἰνιγματωδῶς καὶ πανούργως λέγειν· καὶ γὰρ οἱ λύκοι πανοῦργοι.* Egregie de hoc dubio et difficili loco post Niebuhrium (Opusc. hist. et philol. Vol. I, pag. 438 sqq.) disseruit Welkerus in libro de Tragoed. Graec. Tom III, pag. 1259—1263. Nuperrime etiam hanc quaestionem attigit Frid. Guil. Wagner in Collectione fragm. poetar. graec. pag. 152. (Bibl. Script. graec. Vol. XXV. Paris 1846.)

1234. ὁ *Καστνίας τε:* Καστνία καὶ Ταχεῖρα, ἡ Ἀφροδίτη παρὰ τὸ χειροῦσθαι διὰ τῆς ἐπιθυμίας.

1237. *ὃς πρῶτα μὲν Ῥαίκηλον:* Ῥαίκηλος Μακεδόνων πόλις· Κισσὸς δὲ ὄρος Μακεδονίας, ἔνθα ὁ Αἰνείας μετὰ τὴν ἅλωσιν ᾤκησε, καὶ ἀφ' ἑαυτοῦ Αἶνον τὴν πόλιν ὠνόμασεν. *Ἀλμωνία* δὲ χώρα Μακεδονίας· ἀπὸ γὰρ Μακεδονίας εἰς Ἰταλίαν ἦλθεν Αἰνείας.

1238. *καὶ Λαφυστίας:* Λαφυστίας ὁ Διόνυσος, ἀπὸ Λαφυστίου ὄρους Βοιωτίας, ὅθεν Λαφύστιαι αἱ ἐν Μακεδονίᾳ Βάκχαι, αἳ καὶ Μιμαλόνες ἐκαλοῦντο, διὰ τὸ μιμεῖσθαι αὐτὰς τὸν Διόνυσον· κερατοφοροῦσι γὰρ καὶ αὗται κατὰ μίμησιν Διονύσου· ταυρόκρανος γὰρ φαντάζεται καὶ ζωγραφεῖται. καὶ Εὐριπίδης·

καὶ σῷ κέρατα κρατὶ προςπεφυκέναι·

1240. *Λυγκεύς τε:* ποταμὸς Ἰταλίας θερμὰ ὕδατα ἔχων.

1242. *σὺν δέ σφι μίξει:* Ὀδυσσέα φασὶ ἐν Ἰταλίᾳ συντυχεῖν Αἰνείᾳ, καὶ συνθήκας μετ' ἀλλήλων καὶ εἰρήνην ποιῆσαι. λέγει οὖν, ὡς διάφορος ὤν, φίλιον στρατὸν μίξει μετ' αὐτοῦ διὰ τὰς σπονδὰς, ὅρκους καὶ λιτανείας ποιήσας, ὡς ἂν δὴ φυγὰς ὤν. *νάνους* δὲ τοὺς πλανήτας φασί. σὺν αὐτῷ δὲ δύο παῖδες Τηλέφου, Τάρχων καὶ Τυρσηνὸς, οἰκήσουσι τὴν Τυρσηνίαν· ἀπὸ δὲ τοῦ Τυρσηνοῦ ἡ χώρα Τυρσηνία καλεῖται.

---

7. Haec e vetere hypomnemate ad verbum transscripsit compilator; in fine autem hanc de suo addidit vocis *κερατοφόρος* interpretationem: *κερατοφόρος δὲ αὐτός ἐστιν, ἐπειδὴ ὁ οἶνος πινόμενος πολὺς τοὺς ἄνδρας ἐκμαίνει πρὸς τὰς ἑτέρων γυναῖκας εἰςέρχεσθαι. ταυρόκρανος δὲ ζωγραφεῖται καὶ φαντάζεται, ἢ κερασφόρος, ὅτι τοῖς φιλοίνοις ἡ ἀλογία πρόςκειται δίκην ζώων ἀλόγων.* Quo interpretamento nihil excogitari poterat stultius.

12. Eurip. Bacch. v. 921. Codd. fere omnes *κέρατα* habent, pauci ut Cod. Paris. 2728 et Neap. III, *κέρατι*, *κέρατε* nullus. Diversitas orta est e compendio *κερα̃* (superscr. τ:), quod *κέρατα* legendum est, non *κέρατι*.

1244. *νάνος πλάναισιν:* ὁ Ὀδυσσεὺς παρὰ Τυρσηνοῖς νάνος καλεῖται, δηλοῦντος τοῦ ὀνόματος τὸν πλανήτην.

1246. *Οἰκουρός:* ὁ Διόνυσος διὰ τὸ ἅπαξ τοῦ ἐνιαυτοῦ εἰς τὸν ναὸν αὐτοῦ εἰςέρχεσθαι, τὰς δὲ λοιπὰς οἴκοι μένειν καὶ οἰκουρεῖν.

1247. *Θέοινος:* ὁ αὐτός, ὡς Αἰσχύλος·

πάτερ Θέοινε, Μαινάδων ζευκτήριε.

καὶ Διονύσιος Σκυμναῖος·

μὰ τὰς Θεοίνου καὶ Κορωνίδας κόρας.

1249. *τῶν Ἡρακλείων:* ἐξ Ἡρακλέους καὶ Αὔγης Τήλεφος, Τηλέφου δὲ Τάρχων καὶ Τυρσηνός.

1250. *ἔνθα τράπεζαν:* χρησμὸν ἔλαβεν ὁ Αἰνείας, ἔνθα ἂν οἱ ἑταῖροι αὐτοῦ καταφάγωσι τὰς ἑαυτῶν τραπέζας, ἐκεῖ κτίζειν πόλιν. ἐλθόντες δὲ ἐν Ἰταλίᾳ καὶ ἀπορήσαντες τραπεζῶν, ἄρτοις ἀντὶ τραπεζῶν ἐχρήσαντο, καὶ τέλος ἔφαγον καὶ τοὺς ἄρτους. συνεὶς οὖν τὸν χρησμὸν ὁ Αἰνείας ἔκτισε τὴν Ῥώμην ἐκεῖσε.

1253. *Βορειγόνων:* ἔθνος ἐν Ἰταλίᾳ οὕτω καλούμενον.

1255. *πύργους τριάκοντα:* πύργους ἔκτισεν ἐν Ἰταλίᾳ ἰσαρίθμους τοῖς τῆς συὸς τεχθεῖσιν, ἣν ἐκ τῆς Ἰλίου ἔλαβεν.

1259. *ἀνθήσει μιᾷ:* ἀναθήσει, κατὰ συγκοπήν.

---

2. Post *πλανήτην* addidit Jo. Tzetzes: *ἐγὼ δὲ εὗρον, ὅτι ὁ Ὀδυσσεὺς πρότερον Νάνος ἐκαλεῖτο, ὕστερον δὲ ἐκλήθη Ὀδυσσεύς, ὥσπερ ὁ Ἀχιλλεὺς πρότερον Λιγύρων καὶ Πυρίσσοος, καὶ ἕτεροι ἑτέρως ἐκαλοῦντο.*

3. Haec aperte corrupta et mutilata sunt, neque magis placent, quae in Tzetziana compilatione leguntur: *ὁ Διόνυσος, ὅτι ἅπαξ τοῦ ἐνιαυτοῦ εἰςήρχοντο αἱ γυναῖκες εἰς τὸν ναὸν αὐτοῦ, τὸν δὲ λοιπὸν χρόνον οἴκοι ἔμενον καὶ οἰκούρουν.*

6. Aeschyl. fragm. incert. pag. 24. Dind.

14. Errorem veteris Scholiastae indicat et corrigit Jo. Tzetzes, lectorem ad ea relegans, quae satis larga manu ad v. 1232 adnotavit: *εἶπον τὴν ἱστορίαν ὄπισθεν πλατέως, ὅπως ἔκτισεν Αἰνείας τὸ Λαβίνιον, κἂν οὗτοι μὴ εἰδότες τὴν Ῥώμην φασίν· ὅρα γάρ, ὅπως φασὶ τὴν ἱστορίαν· χρησμὸν ἔλαβεν ὁ Αἰνείας κ. τ. λ.* quae in nostro hypomnemate leguntur.

1261. *Μυνδίᾳ Παλληνίδι:* Μυνδία καὶ Παλληνὶς ἡ Ἀθηνᾶ τιμᾶται· ὁ δὲ Αἰνείας ἄγων τὰ ἀγάλματα ἐκ τῆς Τροίας καὶ τὸν πατέρα Ἀγχίσην, ἦλθεν εἰς Ἰταλίαν.

1263. *ἃ δὴ παρώσας:* ἐν ὑπερβατῷ ἡ σύνταξις· ἅτινα δὴ ἀγάλματα σὺν τῷ γηραιῷ πατρὶ πρεσβειώσεται, τουτέστι τιμήσει, τοῖς ἱματίοις καλύψας. τὸ δὲ ἑξῆς· παρώσας δάμαρτα καὶ τέκνα καὶ τὸν πλοῦτον. Αἰνείου δὲ γυνὴ Κρέουσα Πριάμου θυγάτηρ, ἀφ' ἧς ἔσχεν Ἀσκάνιον καὶ Εὐρυλέοντα. *ὀμπνίαν* δὲ, τὴν συντελοῦσαν πρὸς τὸ ζῆν, παρὰ τὸ πνέω, ἐξ οὗ πλουσίαν. *πάλῳ* δὲ· κλήρῳ γὰρ τὴν λείαν διένειμαν. *τούτῳ μόνῳ πόρωσιν*· αἱρέσεως δοθείσης Αἰνείᾳ ὑπὸ τῶν Ἑλλήνων ὃ βούλεται λαβεῖν αὐτὸν ἐκ τῆς πόλεως, προέκρινε τὸν πατέρα καὶ τὰ ἀγάλματα τῆς πόλεως, παρώσας τὸν οἶκον καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα.

1274. *Ἀργοῦς τε:* Αἰήτης λιμὴν ἐν Ἰταλίᾳ, ἔνθα φασὶ τὴν Ἀργὼ ὁρμῆσαι, καὶ καθαρθῆναι ὑπὸ Κίρκης ἐκ τοῦ φόνου τοῦ Ἀψύρτου Ἰάσονα καὶ Μήδειαν. *Φόρκη* δὲ λίμνη, ἀπέχουσα Ῥώμης σταδίους πεντακοσίους. *Μαρσοὶ* δὲ, ἔθνος Ἰταλίας, περὶ τὴν λίμνην οἰκοῦντες. *Μαρσιωνίδος ποτά:* καὶ περὶ τοὺς φυτευσίμους καὶ εὐλείμωνας τόπους τῆς Μαρσῶν τοῦ ἔθνους χώρας·

---

5. Cod. *κάμψας*. Veteris Scholiastae vestigia libere sequutus est Joannes Tzetzes, suo more latius exponens, quae antiquus interpres verbo tantum indicaverat. Quem autem post verba *ταῦτα μὲν οὗτοί φασι* depromsit locum undecim versiculorum, eum per festinationem soli Leschae, parvae Iliados auctori, attribuit, cujus, ut nunc scimus, solum quinque priores versus sunt, reliqui autem sex ad Simiae Rhodii carmen epicum, quod *Γοργὼ* inscriptum erat, pertinuerunt. Vid. Scholia antiqua ad Eurip. Tragoed. nuperrime a Jacobo Geelio edita, in quibus ad Androm. v. 14 idem Simiae e Gorgone locus servatus est. *Σιμίας ἐν Γοργόνι* (fort. *Γοργοῖ*. vid. Athen. lib. XI, 80. pag. 491, c.) *Ἀνδρομάχην φησὶ καὶ Αἰνείαν γέρας δοθῆναι Νεοπτολέμῳ, λέγων οὕτως· ἐκ δ' ἕλεν Ἀνδρομάχην ἠΰζωνον παράκοιτιν κ. τ. λ.* Admonuit me hac de re Franc. Volckm. Fritzsche, collega dilectissimus. Hoc unum nunc addam, in ultimo Simiae versu veram lectionem *ἀγέμεν γέρας*, quae in Tzetzianis nunc in *γέρας ἀγέμεν* mutata est, a Codd. meis omnibus confirmari.

13. Cod. *λίμνη*.

1276. *Τιτώνιόν τε χεῦμα:* Τίτων ποταμὸς Ἰταλίας, ἐγγὺς Κιρκαίου. οὗτος δὲ ὁ ποταμὸς οὐκ εἰς θάλασσαν ῥέει, ἀλλ' ὑπὸ τῆς γῆς καταπίνεται, ὥς φησι καὶ Φιλοστέφανος.

1278. *Ζωστηρίου τε κλιτύν:* Ζωστήριον ἐπώνυμον Ἀπόλλωνος· φησὶ οὖν, ὅτι ἐνταῦθα διῆγεν ἡ Σίβυλλα. γρώνῳ δὲ, τῷ κοίλῳ· βερέθρῳ δὲ, τῷ σπηλαίῳ· ἄλλως. καὶ ἐπὶ τὸ μέρος τοῦ ναοῦ τοῦ Ἀπόλλωνος τοῦ Ζωστηρίου ὠνομασμένου, ἢ τὴν ἐξοχήν.

1446. *ᾧ δὴ μεθ' ἕκτην γένναν αὐθαίμων ἐμός:* ἀδελφός μου, φησὶ, μετὰ ἓξ γενεὰς, ἀντὶ τοῦ ἐκ πολλοῦ συγγενής· λέγει δὲ τὸν Ταρπίνιον·

---

1. Codd. mei omnes h. l. et in Tzetzianis, quae hoc Scholion repetunt, *Τίτων* habent, accentu in prima syllaba, quod retinui.

Ibid. Cod. *Κερκαίου*.

8. Hoc Scholion non ob id solum memorabile est, quod ex eo luculento sane exemplo apparet, quam incerta apud Grammaticos graecos fuerit Románarum rerum notitia, sed magis etiam quod h. l. ab ipso Tzetza in refellendis his erroribus, veterum Scholiastarum, quos compilavit, mentionem factam videmus. Allatis enim primis hujus Scholii verbis, ita pergit: *ὁ δὲ λόγος περὶ Ταρκυνίου Ῥωμαίου· οὗτος γὰρ ἀπὸ Ῥωμύλου, ὡς φλυαροῦσιν οἱ τὰ Λυκόφρονος πρὸ ἡμῶν σχολιάσαντες, ἕκτος ἦν. ἐγὼ δὲ πρῶτον γινώσκω Ῥωμύλον, εἶτα Νοῦμαν, Τοῦλλον Ὀστίλλιον τρίτον, τέταρτον Μάρκον Ἄγκον, πέμπτον Ταρκύνιον οὐ Ταρπίνιον, ἕκτον Τούλλιον, εἶτα Ταρκύνιον τὸν ὑπερήφανον, εἶτα Βροῦτον καὶ ἑτέρους. ἐκεῖνοι δέ φασι, Ῥωμύλος κ. τ. λ.* Tum apud Jo. Tzetzam post verba *ἐκεῖνοι δέ φασι* sequuntur ea, quae in nostro hypomnemate leguntur, insigni tamen singulorum Codicum in singulis nominibus scripturae varietate. Sic omnes libri Tzetzianae recensionis nomen *Μύαλος*, in quo Numae nomen latet, omittunt; *Δάλιος*, quod *Τοῦλλος* scribendum erat, aut in *Δίος*, aut pejus etiam in *ἐστὶν Ἴος* corrumpunt; pro *Ἄγγυς* exhibent *Ἄπυς, Ἄπις, Ἄμπυς* · nomen *Καρπίνιος* in *Καρσίνιος*, aut in *Ταρτάνιος* mutarunt; *Ἑρπίνιος*, in quo *Σέρβιος* latet, *Ὁρπίνιος* aut *Ὀρπίνιος* scribunt, et inter *Τούλλιος Ταρπίνιος* aut *ἢ Ἴουλος*, aut *ἢ Ἰούλιος* inserunt. Multi Codd. ordinem regum aut adscriptis numeris, aut per litteras indicatis, proferunt; sunt etiam, qui totum hunc locum, aut unum alterumve nomen prorsus omittant. Quae quum sigillatim persequendi nunc nulla sit opportunitas, in majore Scholiorum editione ita tractabo, ut sua cuique Codici lectio accurate assignetur. Equidem haec nomina regum ad vetusti libri scripturam excudenda curavi, vitiis servatis omnibus, et distinctione majori singulorum regum nominibus interposita, quo clarius fons erroris, quem Tzetziani libri propagarunt, appareret.

οὗτος γὰρ ἀπὸ Ῥωμύλου ἕκτος ἐστὶν οὕτως· Ῥωμύλος. Μύαλος. Πομπήϊος Λάλιος. Ὀστίνιος Ἄγγυς. Μάρκος Καρπίνιος. Πρίσκος Ἑρπίνιος. Τύλλιος Ταρπίνιος· ἕκαστος γὰρ αὐτῶν δυσὶ καὶ πλείοσι ἐχρῶντο ὀνόμασιν. ἕκτος οὖν ὁ Ταρπίνιος ἀπὸ Ῥωμύλου· ὁ δὲ Ῥωμύλος, ὥς φασι, Αἰνείου ἦν υἱός.

Ἄλλως. Ῥωμαῖοι καὶ Μακεδόνες ἔσχον μετ' ἀλλήλων πόλεμον, καὶ πολλάκις καὶ ἐν χέρσῳ καὶ ἐν θαλάσσῃ ἐπολέμησαν. ὕστερον μέντοι συνέβη κρατηθῆναι τὸν τῶν Ῥωμαίων στρατηγὸν ὑπὸ Μακεδόνων ζῶντα, καὶ πάλιν Ἀλέξανδρόν τινα συγγενῆ Ἀλεξάνδρου ἀναιρεθῆναι ὑπὸ Ῥωμαίων· καὶ τοῦ σώματος αὐτοῦ κρατουμένου ἠμείψαντο· καὶ οἱ μὲν Ῥωμαῖοι ἀπέδοντο τὸν νεκρὸν τοῦ Ἀλεξάνδρου, καὶ οἱ Μακεδόνες τὸν στρατηγόν, καὶ ἐκ τούτου ἐγένετο εἰρήνη.

1456. *καὶ θεσφάτων πρόμαντιν:* ἀπὸ κοινοῦ τὸ ἐγχρίσας· τὸ δὲ ἑξῆς, ἐν ψευδηγόροις φήμαις τοὺς λόγους καὶ τὴν ἀψευδῆ φρόνησιν τῶν μαντευμάτων ἐγχρίσας· φήμην γὰρ διήγειρεν ὁ Ἀπόλλων, ὅτι Κασσάνδρα οὐκ ἐστὶ μάντις, ἀλλὰ μαινομένη μάτην λέγει.

1457. *λέκτρων στερηθείς:* βουληθέντος γὰρ Ἀπόλλωνος συγγενέσθαι τῇ Κασσάνδρᾳ, αὕτη οὐκ ἔδωκεν ἑαυτήν· διὸ μηνίων παρεσκεύασεν, ἵνα, ὅταν μαντεύηται, μηδεὶς αὐτῇ προσέχῃ μηδὲ πιστεύηται.

1462. *εἱρκτῆς ἔντος:* τοῦ παρθενῶνος. *σειρῆνος* δέ, ἑαυτὴν εἶπεν σειρῆνα, διὰ .... *Μιμαλὼν* δέ, διὰ τὸ ἐνθουσιῶδες ....

1464. *Μελαγκραίρας κόπις:* κόπις ὁ ῥήτωρ, παρὰ τὸ κόπτειν τοῖς λόγοις, ἢ ὅτι ἔμπειρος· *Μελαγκραίρας* δέ, παρὰ τὸ μελαίνειν τὴν φράσιν καὶ

---

19. Hic et in sequentibus, ubi lacunae signa posuimus, scriptura Codicis perquam minuta et flavescens ita evanuit, ut vel intentissimam oculorum aciem effugiat. Videntur autem ea, quae perierunt, facili negotio sic restitui posse: *ἑαυτὴν εἶπεν Σειρῆνα, διὰ τὸ τὰ μέλλοντα προειπεῖν καὶ διὰ τὸ θελκτικόν· Μιμαλὼν δέ, διὰ τὸ ἐνθουσιῶδες καὶ μανικόν.* Apertum autem est, Scholiastam in ponendis lemmatibus errasse, et quaedam intermedia omisisse; totum igitur sic restituo: *φοιβόληπτον χελιδόνα ἑαυτὴν εἶπεν, διὰ τὸ τὰ μέλλοντα προειπεῖν. Σειρῆνος δέ, διὰ τὸ θελκτικόν· Μιμαλῶν δέ, διὰ τὸ ἐνθουσιῶδες καὶ μανικόν.*

21. *Μελαγκραίρας.* Aristot. *περὶ θαυμασίων ἀκουσμάτων* cap. 97. edit. Beckm. *ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν*

τοὺς χρησμούς · Νησὼ δὲ, μητὴρ Σιβύλλης · Κλάρος δὲ Κολοφῶνος τόπος, ἀφ' οὗ καὶ Κλάριος ὁ Ἀπόλλων . εἰκάζει ὁ ποιητὴς τὴν Κασσάνδραν Βάκχῃ τῇ ἐν Κλάρῳ καὶ τῆς Σιβύλλης ἐπιστήμονι, καὶ τῇ Σφιγγί · ἡ δὲ Σφὶγξ .... αὐτὴ γὰρ αἰνιγματωδῶς διελέγετο, ὥσπερ καὶ ἡ Σίβυλλα · καὶ ἡ Κασσάνδρα .. .. παρεβάλετο, λέγει γὰρ ·

Σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμουμένη ·

καθὼς προείρηται.

1466. *ἑλικτά: τὰ συνεστραμμένα καὶ σκοτεινά . λοξὸν δὲ, τὸν αἰνιγματώδη καὶ μυστικόν, ὅθεν καὶ Λοξίας ὁ Ἀπόλλων διὰ τὸ δύσκολον τῶν χρησμῶν · τρόχιν δὲ, τὸν ἄγγελον, παρὰ τὸ τρέχειν · οἱ δὲ τὸ ὄνομα τοῦ λέγοντος ἀγγέλου Τρόχιν θέλουσιν ἀκούειν · λείπει δὲ τὸ ἐμὲ, ἀντὶ τοῦ ἐμαυτὸν διαγείρας τοῦ ἐλθεῖν καὶ εἰπεῖν περὶ πάντων.*

πολυχρονιωτάτην γενομένην παρθένον διαμεῖναί φασιν, οὖσαν μὲν Ἐρυθραίαν · ὑπό τινων δὲ, τὴν Ἰταλίαν κατοικούντων, Κυμαίαν, ὑπὸ δέ τινων Μελάγγραιναν καλουμένην. Vitiose ibi nunc editum est *Μελάγραιναν*.

2. *Βάκχῃ τῇ ἐν Κλάρῳ.* Tetigit hunc locum nuper C. A. Pertz in Colophoniacis pag. 50. not. 5.

4. Supple: *καὶ ἡ Κασσάνδρα τῇ Σφιγγὶ διὰ τὸ σκοτεινὸν παρεβάλετο.*

6. Lycophr. Alexandr. v. 7. ubi nostri hypomnematis auctor haec adnotavit: *αὕτη ἡ Σφὶγξ θυγάτηρ γέγονε Λαΐου, ἔμπροσθε μὲν εἶδος ἔχουσα λέοντος, ὄπισθεν ἀνθρώπου · φανεῖσα δὲ τοῖς ἐντοπίοις εἶπε τοιοῦτον αἴνιγμα, πρὸς ὃ ἀπεκρίθησαν ·*

ἔστι δίπουν ἐπὶ γῆς καὶ τέτραπον, οὗ μία μορφὴ,
καὶ τρίπον · ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἕρπετα γίνονται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ .

τὸ αἴνιγμα τοῦτο ἄνθρωπον σημαίνει · ὅταν γεννηθῇ ὁ παῖς, περιπατεῖ τετραποδιστί · αὐξηθεὶς δὲ διὰ δυῶν ποδῶν, καὶ γηράσκων διὰ τριῶν, ὃ σημαίνει μετὰ ῥάβδου βαίνει. Sphingis aenigma legitur etiam apud Jo. Tzetzam; reliqua veteris Scholii omisit. De varietate scripturae Codd. meorum haec adnotasse sufficiat, versu primo *μορφὴ* lectionem omnium librorum esse; versu secundo *φυὴν* a melioribus libris, interdum suprascripto *βοὴν*, praeberi; tertio versu *γίνονται, γίνηται, γίνεται* in libris omnibus, in nullo autem *κινεῖται*, quod in Scholiis ad Eurip. Phoenissas nunc editum est, inveniri; versu ultimo voci *τάχος*, quae vera lectio est, in nonnullis libris superadditam esse alteram lectionem *μένος*, easque in deterioribus libris ab imperitis librariis in *τάχος μένος* vel *μένος τάχος* conjunctas exhiberi. Minorem scripturae discrepantiam nunc consulto praetermisimus. Videndus omnino Asclepiadis Tragilensis locus apud Athen. X, 456. b. qui communis horum omnium fons habendus est.

Scriptores

qui in Scholiis laudantur.